
3 1761 08825186 3

KLEINE TEXTE FÜR VORLESUNGEN UND ÜBUNGEN
HERAUSGEGEBEN VON HANS LIETZMANN

44—46

MENANDRI

RELIQVIAE NVPER REPERTAE

ITERVM EDIDIT

SIEGFRIED SVDHAVS



BONN
A. MARCUS UND E. WEBER'S VERLAG
1914

VORBEMERKUNG

Οἱ παῖδες ἐπὶ τὰ πελτία war der letzte vers, den ich am 1. august interpretierte. Vierundzwanzig stunden später stand ich an der grenze. Die druckbogen des Menandertextes, die ich in den ferien langsam durcharbeiten wollte, habe ich zum grösseren teile hier erledigen müssen, wo ich nicht einmal das manuskript zur hand hatte. Die superrevision habe ich meinem freunde Ludwig Radermacher übertragen, dem ich hiermit meinen dank ausspreche. Hoffentlich ist es mir vergönnt, nach dem feldzuge eine abschliessende ausgabe dieser provisorischen folgen zu lassen. Für die kleineren reste standen mir die collationen einiger schüler zu gebote, von J. Hutloff, O. Schröder und P. Petersen. Für den Cairensis habe ich die Jensenschen neben meinen eigenen collationen verwenden können.

Woyens, den 12. august 1914.

S. Sudhaus.

ΕΠΙΤΡΕΠΟΝΤΕΣ

Μάγειρος, Ὀνήσιμος.

fr. 1. Μ. Οὐχ ὁ τρόφιμός σου πρὸς θεῶν, Ὀνήσιμε,
ὁ νῦν ἔχων ⟨τὴν⟩ Ἀβρότονον τὴν ψάλτριαν
ἔγημ' ἔναγχος; Ο. πάνυ μὲν οὖν. - - - -
- -
fr. 2. 3. - - - - - - - - - - Μ. φιλῶ σ', Ὀνήσιμε,
καὶ σὺ περίεργος εἶ. - - - - - - - - - - -
- - - - - - - - - - - - - - - - - - Μ. οὐδέν ⟨ἐστι⟩ γὰρ
γλυκύτερον ἢ πάντ' εἰδέναι - - - - - - - -
fr. 4. Ο. τί δ' οὐ ποιεῖς ἄριστον; ὁ δ' ἀλύει πάλαι
κατακείμενος. - - - - - - - - - - - - - - - - - -
fr. 5. - - - - - - - - - - - - - - - - Μ. ἐπέπασα
ἐπὶ τὸ τάριχος ἅλας, ἐὰν οὕτω τύχῃ.

Παμφίλη, Σμικρίνης — Χαιρέστρατος — φίλος ἕτερος (Ε.).

Z^{1}r Π. ἀλλ' εἴ με σῴζων τοῦτο μὴ πείσαις ἐμέ,
οὐκέτι πατὴρ κρίνοιτ' ἂν ἀλλὰ δεσπότης·
λόγου δὲ δεῖται τ[α]ῦτα καὶ συμπείσεως,
οὐκέτι [λ]ο[γισμο]ῦ. Σ. [ταῦτα Π]αμφίλη βοᾶι
φωνὴν ἀφιεῖσ'. εἰ δὲ κἀμὲ δεῖ λέγειν,

fr. **1** = fr. 600 K (comm. in Aristot. IV, 5 p. XXII) τὴν add. Leo al. fr. **2**. **3** = fr. 849. 50 K (comm. in Aristot. XVIII 1 p. 27, cf. Cic. ad Att. IV, 11; Themist. or. 21, 262 c) fr. **4** exhibet Photius Berol. p. 83 fr. **5** = fr. 178 K (Athen. 119 E.) ἐὰν Elmsley, ἂν codd. Huic paginae suprascriptus est numerus ς'. itaque qui primus in ea legitur versus est fabulae fere centesimus sexagesimus; hos numeros (scil. ipsius fabulae) et hic et infra initio singularum paginarum uncis inclusos adieci 2 δεσποτης: pap. 4 [Λ]Ο . . . . . Υ· fort. λογιστοῦ. . ΙΜ)ΙΛΗΒΟΛΙ pap.

(165) ἕτοι]μ[ό]ς [εἶ]μ[ι], τρία δέ σοι προθήσομαι.
οὔτ᾽] ἂν ἔτι σωθείη πόθ᾽ οὗτος [οὔ]τε σύ·
ζήσει μὲν] ἀμε[λ]ῶς, ἡδέως, [σὺ] δ᾽ [οὐ] σφόδρα,
οὐδ᾽ οἰκίαν οἰ]κοῦσ᾽ ἐαθείης ἔτ᾽ ἂν
χρῆσθαι τυχὸν δια]κόνῳ, τούτων τι[νὸς
(170) ὧν εἰσφέρει χρεία]ν ἔχουσ᾽· ἅπαν[τα γὰρ
εἶναι νομίζετ᾽ ἀνδρός, ἔστ]αι δ᾽ ο[ὐδὲ ἓν | [γυναικός.

desunt v. f. 24

⟨τούτου σκόπει

(196) Z²v (Σ.) τὴν πολυτέλειαν. Θεσμοφόρια δὶς τίθει,
Σκίρα δίς. τὸν ὄλεθρον τοῦ βίου καταμάνθανε·
οὔκουν ἀπόλωλεν οὗτος ὁμολογουμένως;
σκόπει [τ]ὸ σὸ[ν δ]ή· φησὶ δεῖν εἰς Πειρ[α]ιᾶ
(200) αὐτὸν βαδίσαι· καθεδεῖτ᾽ ἐκεῖσ᾽ ἐλθ[ὼν ἐφ᾽ ᾧ,
τοῦ[τ᾽] οἶ[δ]᾽, [ὀ]δυνήσει. περίμ[ε]ν᾽. εἰς π[όλι]ν [δ᾽ ἰὼν
ἄδει[πν]ος [ὢν] πίνει με[τὰ πό]ρ[ν]ης δη[λαδή.
Π. πο]ρεύ[σομ᾽, ὡ]ς ἐξῆλθέ [τις. Σ. σκόπει δ᾽, ὅπου
διανυ]κ[τ]ερεύε[ι]· πάντ[α γὰρ πεπυσμένος
(205) διεξιένα]ι σοι βούλο[μαι. μέν᾽. οἴχεται.
. . . . (.) κε . . ειι . . λοι . . . .
- -

fr. 6 Σ. ἀργὸς δ᾽ ὑγιαίνων τοῦ πυρέττοντος πολὺ
ἔστ᾽ ἀθλιώτερος· διπλάσια γοῦν μάτην
κατεσθίει -
. . . . ⟨πίνει δὲ πολυτελέστατον
Membr. ἄνθρωπος οἶνον. αὐτὸ τοῦτ᾽ ἐκπλήτ[τομαι
Petrop. ἔγωγ᾽. ὑπὲρ ⟨δὲ⟩ τοῦ μεθύσκε⟨σ⟩θ᾽ οὐ λέγω·
ἀπληστίᾳ γάρ ἐσθ᾽ ὅμοιον τοῦτό γε,

7 ποτ᾽ pap. 12 ¯ΛΙΛ᾽Ο suppl. e. g. 13 talia antecesserunt: κἂν ταῖς ἑορταῖς, Παμφίλη, τούτου σκόπει — 16 τὸ σὸν Jensen 17 se ipsum (dominum) ελε[pap. 18 non excluditur τούτοις, sed ultima littera vid. Λ esse. cf. Per. 244 ἐρεῖς, | τοῦτ᾽ οἶδ᾽ ἀκριβῶς 19 μετὰ Jensen δηλαδή Körte 21 . . . Υ]Κ[Τ]ΕΡΕΥΣ . pap. 23 pergebat opinor Smicrines: sequar eam, intus cetera transigentur. Multa enim reliqua velut ὀψιφαγία, πολυποσία, πόρνης ἐπεισαγωγή, quae monologo persequitur fr. 6 = fr. 175 K (Stob. floril. 30, 7) διπλάσια γοῦν ἐσθίει μάτην libri, μάτην γ. ε. | διπλάσια Wilam. fragmentum sextum,

εἰ καὶ βιάζεται κοτύλην τις τοὐβολ[οῦ
ὠνούμενος πίνειν ἑαυτόν. Χ. ταῦτ᾽ ἐγ[ὼ
προσέμενον· οὗτος ἐμπεσὼν διασκ[εδᾷ
τὸν ἔρωτα. Σ. τί δέ μοι τοῦτο; πάλιν οἰμώ[ξεται.
Σ. προῖκα δὲ λαβὼν τάλαντα τέτταρ᾽ ἀργύρ[ου
οὐ τῆς γυναικὸς νενόμιχ᾽ αὑτὸν οἰκέτ[ην·
ἀπόκοιτός ἐστι, πορνοβόσκῳ δώδεκα
τῆς ἡμέρας δραχμὰς δίδωσι — Χ. δώδεκα·
πέπυσ]τ᾽ ἀκριβῶς οὑτοσὶ τὰ πράγματα.
Σ. μηνὸ]ς δια[τ]ροφὴν ἀνδρὶ καὶ πρὸς ἡμερῶν
ἕξ — Χ. εὖ] λελ[όγ]ισται· δύ᾽ ὀβολοὺς τῆς ἡμέρας.
Σ. ἱκανό]ν τι τῷ πεινῶντι ⟨πρὸς⟩ πτισ[άνη]ν ποτέ.
Ε. Χαρίσι]ός σ[ε] προσμένει, Χαιρέ[στρατε.
τίς ἐσ]τι δ[ή], γλυκύτατε; Χ. ὁ τῆς [νύμφης πα]τήρ.
Ε. τί δὴ παθ]ὼν ὡς ἄθλιός τις [φιλόσοφος
βλέπει σκυθρώφ᾽; Χ. ὁ] τρισκακοδ[αίμων φάλ]τριαν
τὴν ἔνδον οἰκοῦ]σαν γυναῖκα . . . . ι
desunt v. f. 10.

---

cui apud Stobaeum inscribitur Μενάνδρου Ἐπιτρεπόντων quam facile cum membranis Petropolitanis coaptari possit apparere puto. Hae membranae a V. Jernstedt in actis universitatis Petrop. anno 1891 editae sunt. Denuo eas excussit Joh. Hutloff, De Menandri Epitrepontibus, Berol. 1913 p. 1—19, cuius utor collatione. — Ad tertium actum haec fragmenta refert E. Capps 1 suppl. Cobet, idem v. 2 ins. δέ 3 απιστια membr., corr. Wilam., idem suppl. v. 4 (τουοβολ membr.) et v. 7 5 : τουτει. membr. 6 suppl. Cobet 7 post ἔρωτα spatium et punctum unicum exstare testatur Hutloff. Smicrines non curat ἀπληστίαν ipsam, sumptu tantum exacerbatur 8 in margine sinistro Hutloff personae notam tamquam σμι deprehendi enotat, eaque vestigia etiam in optima quae mihi praesto est photographia apparent 11 διδωσι· (cum spatio) membr., in margine litterae Χ hastam disp. Hutloff (fort. Χ[ΑΙΡ′] exstabat) 12 πέπυστ᾽ v. Leeuwen 13 ad πρὸς (insuper) cf. Epitr. 132 14 ημερασ: membr., puncta add. m[2] 15 | . . . . . ΝΤΙΤΩΠΕΙΝΩΝ ΤΙΠΤΙC . . . ΝΠΟΤΕ: membr. teste J. Hutloff. inter τι et τω spatium erat. Ibi si puncta fuerunt, ea a correctore, qui post ἡμέρας (14) distinxit, aut remota esse aut debuisse removeri apparet. ἱκανόν τι Wilam. ⟨δὴ⟩ πτισάνην Gomperz 16 Χαρίσιος Körte, Χαιρέστρατε Capps 17 | . . . . . τι/ . γλυκυτατε . οτησι . . . . ιτηρ membr., in. suppl. Jernstedt, finem Kock 18 τί δὴ παθών Wilam. 18, 19 suppl. Wilam., φ litterae

Χ. οὕτως ἀγα]θόν τί σοι γένοιτο, μὴ λέγε
ταῦτ' ἔνδον]. Σ. οὐκ εἰς κόρακας; οἰμώξει μακρά. —
εἴσειμι ν]ῦν εἴσω, σαφῶς τε πυθόμενος,
ὅπως ἔχει] τὰ τῆς θυγατρός, βουλεύσομαι,
ὅντινα τ]ρόπον πρὸς τοῦτον ἤδη προσβαλῶ.
Χ. φράσωμ]εν αὐτῶι τοῦτον ἥκοντ' ἐνθάδε;
Ε. φράσω]μεν. Χ. οἷον κίναδος οἰκίαν ποεῖ
διάστα]τον. Ε. πολλὰς ἐβουλόμην ἅμα.
Χ. πολλάς]; Ε. μίαν μὲν τὴν ἐφεξῆς. Χ. τὴν ἐμήν;
Ε. τὴν σ]ήν γ'. ἴωμεν δεῦρο πρὸς Χαρίσιον.
Χ. ἴωμ]εν· ὡς καὶ μειρακυλλίων ὄχλος
εἰς τ]ὸν τόπον τις ἔρχεθ' ὑποβεβρεγμέν[ων,
οἷς] μ[ὴ] 'νοχλεῖν εὔκαιρον εἶν[α]ί μο[ι δοκεῖ.

ΧΟ]Ρ[ΟΥ

'Ονήσιμος.

ἐπι[σφαλῆ μὲν] πάντα τἀνθ[ρώπων ἐγὼ
οἰόμ[ενος εἶναι . . . .
καὶ τοπ . . . .
ὁ δεσπό[της . . . .
ὁ γέρω[ν . . . .
οὐδὲ λο . . . .

Σύρισκος, Δᾶος — Σμικρίνης.

Cair. D[1] Σ. φεύγεις τὸ δίκαιον. Δ. συκοφαντεῖς, δυστυχής. (373)
Σ. οὐ δεῖ σ' ἔχειν τὰ μή σ'· ἐπιτρεπτέον τινὶ

---

reliquias disp. Hutloff ὁ τρισκ. ψάλτριαν Jernstedt — sententia est: veretur ne domo extrudat. — v. 21, 22 in fine app. ιοι | — σ| 23 suppl. Kock 25 ἀλλ' εἶμι Jernstedt 26 suppl. Körte 27 suppl. Leeuwen 28 suppl. Körte (εἴπωμεν van Leeuwen) 29 suppl. Jernstedt. ante οἷον unius litterae spatium patet. Num puncta exstent propter litteras Syriacas dignoscere non potuit Hutloff 30 \ΤΟΝ l. Hutloff, ἀνάστατον Kock, sed cf. fr. 515 K. 31—34 suppl. Jernstedt 35 in. suppl. Kock, fin. Jernstedt ΧΟΡΟΥ Leo 36 suppl. Jernstedt in sequentibus fr. 581 K (Stob. ecl. 19, 34) inserens, falso, ut mihi persuasit Hutloff; possis pergere v. 37 πεῖραν ἄρτι λαμβάνω. In hoc tertio fr. haec praeterea versuum initia leguntur: | νεσ . . ι . | ἕως ἐλα- | ἐδεῖτο χ- | ἄπωθεν- | τούτωι τι- | κατὰ τὸ α- | . . . . κορ- | . . . . να 2 μησ' : pap., dist. Körte ἐπιτρεπτέον — περὶ τούτων = fr. 183 K (schol. Arist.

ἐστὶ περὶ τούτων. Δ. βούλομαι, κρινώμεθα.
Σ. τίς οὖν; Δ. ἐμοὶ μὲν πᾶς ἱκανός· δίκαια δὲ
πάσχω· τί γάρ σοι μετεδίδουν; Σ. τοῦτον λαβεῖν
βούλει κριτήν; Δ. ἀγαθῇ τύχῃ. Σ. πρὸς τῶν θεῶν,
βέλτιστε, μικρὸν ἂν σχολάσαις ἡμῖν χρόνον;
Σμ. ὑμῖν; περὶ τίνος; Σ. ἀντιλέγομεν πρᾶγμά τι.
Σμ. τί οὖν ἐμοὶ μέλει; Σ. κριτὴν τούτου τινὰ
ζητοῦμεν ἴσον· εἰ δή σε μηδὲν κωλύει
διάλυσον ἡμᾶς. Σμ. ὦ κάκιστ' ἀπολούμενοι,
δίκας λέγο[ν]τες περιπατεῖτε, διφθέρας
ἔχοντες; Σ. ἀλλ' ὅμως — τὸ πρᾶγμ' ἐστὶν βραχὺ
καὶ ῥάιδιον μαθεῖν — πάτερ, δὸς τὴν χάριν·
μὴ καταφρον[ήσῃ]ς, πρὸς θεῶν. ἐν παντὶ δεῖ
καιρῷ τὸ δίκ[αι]ον ἐπικρατεῖν ἁπανταχοῦ,
καὶ τὸν παρατυγχάνοντα τούτου τοῦ μέρους
ἔχειν πρόνοιαν κοινόν ἐστι τῷ βίῳ
πάντων. Δ. μετρίῳ γε συμπέπλεγμαι ῥήτορι· ΔΑΟ´
τί γὰρ μετεδίδουν; Σμ. ἐμμενεῖτ' οὖν, εἰπέ μοι,
οἷς ἂν δικάσω; Σ. πάντως. Σμ. ἀκούσομαι. τί γὰρ
τὸ κωλύον; σὺ πρότερος ὁ σιωπῶν λέγε.
[Δ]Α μικρόν γ' ἄνωθεν, οὐ τὰ πρὸς τοῦτον μόνον
πραχθέντ', ἵν' ἦι σοι καὶ σαφῆ τὰ πράγματα.
ἐν τῷ δάσει τῷ πλησίον τῶν χωρίων
τούτων ἐποίμαινον τριακοστὴν ἴσως,
βέλτιστε, ταύτην ἡμέραν αὐτὸς μόνος·
κἀκκείμενον παιδάριον εὗρον νήπιον
ἔ]χον δέραια καὶ τοιουτονί τινα
κό]σμον. Σ. περὶ τούτων ἐστίν. Δ. οὐκ ἐᾷ λέγειν. ΔΑΟ´
Σμ. ἐὰ]ν λαλῇς μεταξύ, τῆι βακτηρίαι
κα]θίξομαί σου. Δ. καὶ δικαίως. Σμ. λέγε. Δ. λέγω.
ἀ]νειλόμην, ἀπῆλθον οἴκαδ' αὔτ' ἔχων·
τρ]έφειν ἔμελλον. ταῦτ' ἔδοξέ μοι τότε.
ἐ]ν νυκτὶ βουλὴν δ', ὅπερ ἅπασι γίνεται,

Ach. 1115) 10 δε pap., δή Crönert alii 13 εστι pap. 15—18 = fr. 173 K (Orion Anth. 6, 4) 21 CΥΡ´ suprascr. voci πάντως 22 τὸ κωλύον με pap., corr. Lef. 32 suppl. Crönert alii 33 |.ΙЄΙΛΟΜΗΝ pap. 35 ἐν νυκτὶ — ἐμαυτῷ = fr. 733 K (Etymol. Gud. 222, 41, ubi l. βουλὰς.)

διδοὺς ἐμαυτῷ διελογιζόμην· ἐμοὶ
D² τί παιδοτροφίας καὶ κακῶν; πόθεν δ' ἐγὼ (409)
τοσαῦτ' ἀναλώσω; τί φροντίδων ἐμοί;
τοιουτοσί τις ἦν; ἐποίμαινον πάλιν
ἕωθεν· ἦλθεν οὗτος — ἐστὶ δ' ἀνθρακεύς —
εἰς τὸν τόπον τὸν αὐτὸν ἐκπρίσων ἐκεῖ
στελέχη· πρότερον δ' ἐμοὶ συνήθης ἐγεγόνει.
ἐλαλοῦμεν ἀλλήλοις. σκυθρωπὸν ὄντα με
ἰδών· 'τί σύννους' φησί 'Δᾶος'; 'τί γάρ'; ἐγώ
'περίεργός εἰμι', καὶ τὸ πρᾶγμ' αὐτῷ λέγω,
ὡς εὗρον, ὡς ἀνειλόμην. ὁ δὲ τότε μὲν
εὐθὺς πρὶν εἰπεῖν πάντ' ἐδεῖτ'· 'οὕτω τί σοι
ἀγαθὸν γένοιτο, Δᾶε', παρ' ἕκαστον λέγων
'ἐμοὶ τὸ παιδίον δός· οὕτω[ς] εὐτυχής,
οὕτως ἐλεύθερος. γυναῖκα' φησί 'γὰρ
ἔχω· τεκούσηι δ' ἀπέθαν[ε]ν τὸ παιδίον',
ταύτην λέγων, ἣ νῦν [ἔχ]ει τὸ παιδίον.
ΣΜΙΚ/ ἐδέου σὺ ⟨ταῦτα; Σ. φήμ'.⟩ Δ. ὅλην τὴν [ἡ]μέραν
κατέτριψε. λιπαροῦντι καὶ πείθοντί με
ὑπεσχόμην. ἔδωκ'· ἀπῆλθεν μυρία
εὐχόμενος ἀγαθά· λαμβάνων μου κατεφίλει
τὰς χεῖρας. Σμ. ἐπόεις ταῦτ'; Σ. ἐπόουν. Δ. ἀπηλλάγη.
μετὰ τῆς γυναικὸς περιτυχών μοι νῦν ἄφνω
τὰ τότε συνεκτεθέντα τούτῳ — μικρὰ δὲ
ἦν ταῦτα καὶ λῆρός τις, οὐθέν — ἀξιοῖ
ἀπολαμβάνειν καὶ δεινὰ πάσχειν φήσ', ὅτι
οὐκ ἀποδίδωμ', αὐτὸς δ' ἔχειν ταῦτ' ἀξιῶ.
ἐγὼ δέ γ' αὐτόν φημι δεῖν ἔχειν χάριν

---

39 'tam locuples igitur eram?' vel melius fortasse 'nimirum haec mea condicio erat' (sine interr. signo), ut loquatur ironice 41 εκπρισσων pap. 42 εγ corr. ex η 53 εδεουσυρισκ': pap. quoniam versus offensionem habet duplicem — nam et pes excidit nec Syrisci nomen novit Smicrines — non simpliciter cum Leeuweno ἔγωγ' addere placuit, sed cum Bodino et Mazone (ἐδέου σύγ'; ἐδεόμην scribentibus) una medela utramque offensionem tollendam censui in archetypo talia fuisse credens
CYΡΙCΚ'
ΕΔΕΟΥCΥΤΑΥΘ'ΟΥΤΩC: vel quidquid fuit, sescenta enim dantur. Dormitasse autem simul et poetam et scribam quis credat?

οὗ μετέλαβεν δεόμενος· εἰ μὴ πάντα δὲ
τούτῳ δίδωμ᾽, οὐκ ἐξετασθῆναί με δεῖ.
εἰ καὶ βαδίζων εὗρεν ἅμ᾽ ἐμοὶ ταῦτα κ[αὶ
ἦν κοινὸς Ἑρμῆς, τὸ μὲν ἂν οὗτος ἔλα[βεν ἄν,
τὸ δ᾽ ἐγώ· μόνου δ᾽ εὑρόντος, οὐ παρὼν ṭ[ότε
ἅπαντ᾽ ἔχειν οἴει σὲ δεῖν, ἐμὲ δ᾽ οὐδὲ ἕ[ν;
τὸ πέρας· δέδωκά σοί τι τῶν ἐμῶν ἐ[γώ·
εἰ τοῦτ᾽ ἀρεστόν ἐστί σοι, καὶ νῦν ἔχε·
εἰ δ᾽ οὐκ ἀρέσκει, μετανοεῖς δ᾽, ἀπόδος πά[λιν
καὶ μηδὲν ἀδίκε[ι] μηδ᾽ ἐλαττοῦ· πάντα δὲ
C[1] τὰ μὲν παρ᾽ ἑκόντος, τὰ δὲ κατισχύσαντά με (466)
οὐ δεῖ σ᾽ ἔχειν. εἴρηκα τόν γ᾽ ἐμὸν λόγον. —
Σμ. εἴρηκεν. — οὐκ ἤκουσας; εἴρηκεν. Σ. καλῶς· ΣΥΡ /
οὐκοῦν ἐγὼ μετὰ ταῦτα. μόνος εὗρ᾽ οὑτοσὶ
τὸ παιδίον, καὶ πάντα ταῦθ᾽ ἃ ν[ῦ]ν λέγει
ὀρθῶς λέγει, καὶ γέγονεν οὕτως, ὦ πάτερ·
οὐκ ἀντιλέγω. δεόμεν[ο]ς, ἱκετεύων ἐγὼ
ἔλαβον παρ᾽ αὐτοῦ τοῦτ᾽· [ἀ]λη[θ]ῆ γὰρ λέγει.
ποιμήν τις ἐξήγγειλέ μοι, πρὸς ὃν οὑτοσὶ
ἐλάλησε, τῶν τούτῳ συνεργῶν, ἅμα τινὰ
κόσμον συνευρεῖν αὐτό[ν. ἐ]πὶ τοῦτον, πάτερ,
αὐτὸς πάρεστιν οὑτοσί. — [ṭὸ] πα[ιδί]ον
δός μοι, γύναι. — τὰ δέραια καὶ γνωρίσματα
οὗτος σ᾽ ἀπαιτεῖ, Δᾶ᾽· ἑαυτῷ φησι γὰρ
ταῦτ᾽ ἐπιτεθῆναι κόσμον, οὐ σοὶ διατροφήν.
κἀγὼ συναπαιτῶ κύριος γεγενημένος
τούτου· σὺ δ᾽ ἐπόησάς με δούς. νῦν γνωστέον,
βέλτιστε, σοὶ ταῦτ᾽ ἐστίν, ὡς ἐμοὶ δοκεῖ,
τὰ χρυσί᾽ ἢ ταῦθ᾽ ὅṭι ποτ᾽ ἐστί, πότερα δεῖ

67 ΕΛΛỊ pap., ἔλαβεν ἂν Leo al. 68 fort. ṭ[άλας, τότε van Leeuwen; — prima vocis littera (τ opinor) legi potest 70 suppl. Ellis, cf. Per. 354 sim. 73 ΔC| pap. 76 ειρηκεν : ουκηκουσασειρηκεν : καλως pap., cf. Arist. Ran. 660, Eur. Bacch. 649. Syriscus tamquam attonitus et constanter silens bis admonendus est. Scriba non feliciter ita distinguit, ut Syriscus timide e sene quaerat, num Davus re vera finem dicendi fecerit. Sane verbera timet; propterea silet, non stolida quaerit. 85 ..ΠΛ . . . ON pap. (primae litt. τ rell. puncti instar); sententiam indagaverat Wil., verba multi 92 ταυθ᾽ατι pap. ὅτι Richards al.

κατὰ τὴν δόσιν τῆς μητρός, ἥτις ἦν ποτε,
τῷ παιδίῳ τηρεῖσθ', ἕως ἂν ἐκτραφῇ,
ἢ τὸν λελωποδυτηκότ' αὐτὸν ταῦτ' ἔχειν,
εἰ πρῶτος εὗρε τἀλλότρια. τί οὖν τότε,
ὅτ' ἐλάμβανον τοῦτ', οὐκ ἀπῄτουν ταῦτά σε;
οὔπω παρ' ἐμοὶ τότ' ἦν ὑπὲρ τούτου λέγειν.
ἥκω δὲ καὶ νῦν οὐκ ἐμαυτοῦ ⟨σ'⟩ οὐδὲ ἓν
ἴδιον ἀπαιτῶν. κοινὸς Ἑρμῆς; μηδὲ ἓν
εὕ]ρισχ', ὅπου πρόσεστι σῶμ' ἀδικούμενον·
οὐχ] εὕρεσις τοῦτ' ἔστιν ἀλλ' ἀφαίρεσις.
βλέ]ψον δὲ κἀκεῖ, πάτερ· ἴσως ἔσθ' ο[ὑτο]σὶ
ὁ πα]ῖς ὑπὲρ ἡμᾶς καὶ τραφεὶς ἐν ἐργάταις
ὑπ]ερόψεται ταῦτ', εἰς δὲ τὴν αὑτοῦ φύσιν
ἄξ]ας ἐλεύθερόν τι τολμήσει ποεῖν,
θη]ρᾶν λέοντας, ὅπλα βαστάζειν, τρέχειν
ἐν ἀ]γῶσι. τεθέασαι τραγῳδούς, οἶδ' ὅτι,
κ]αὶ ταῦτα κατέχεις πάντα. Νηλέα τινὰ
Π]ελίαν τ' ἐκείνους εὗρε πρεσβύτης ἀνὴρ
C² αἰπόλος, ἔχων οἵαν ἐγὼ νῦν διφθέραν. (483)
ὡς δ' ᾔσθετ' αὐτ[ο]ὺς ὄντας αὑτοῦ κρείττονας,
λέγει τὸ πρᾶγμ', ὡς εὗρεν, ὡς ἀνείλετο·
ἔδωκε δ' αὐτοῖς πηρίδιον γνωρισμάτων,
ἐξ οὗ μαθόντες πάντα τὰ καθ' αὑτοὺς σαφῶς
ἐγένοντο βασιλεῖς οἱ τότ' ὄντες αἰπόλοι.
εἰ δέ γε λαβὼν ἐκεῖνα Δᾶος ἀπέδοτο,
αὐτὸς ἵνα κερδάνειε δραχμὰς δώδεκα,
ἀγνῶτες ἂν τὸν πάντα διετέλουν χρόνον
οἱ τηλικοῦτοι καὶ τοιοῦτοι τῷ γένει.
οὐ δὴ καλῶ[ς ἔχ]ει τ[ὸ] μὲν σῶμ' ἐκτρέφειν

94 ΕΚΤΡ‿ΞΦΗ pap. 98 τουτ' — λεγων pap., τότ' — λέγειν Leo 99 cf. 87 (σ' ἀπαιτεῖ) 101—3 suppl. Lef. 102 = fr. 180 K (Choerob. in Heph. p. 240 Consbr.) 104 | . . λ]ΙC pap., suppl. Jensen 106 | . . . ασ pap., suppl. Leo. ἐλεύθερον — βαστάζειν = fr. 722 K (schol. Od. II 10) 107, 8 suppl. Lef. ΛΓΩCΙ pap. 110 | . ιελιαν pap. 115 καταυτους pap. 116 = fr. adesp. 488 K (Cassius Dio 60, 29: βασιλεῖς ἐγένοντο οἱ πρὶν ὄντες αἰπόλοι) 117 ειδεκε pap., corr. Lef. 118 αυτω pap., αὐτὸς Crönert 120 | ητηλ pap., corr. Lef. ex fr. 181 K

ἐμὲ τοῦτο, [τὴ]ν [αὐ]τοῦ δὲ τῆς σωτηρίας
ἐλπίδα λαβόντα Δᾶον ἀφανίσαι, πάτερ.
γαμῶν ἀδελφήν τις διὰ γνωρίσματα
ἐπέσχε, μητέρ' ἐντυχὼν ἐρρύσατο,
ἔσωσ' ἀδελφόν. ὄντ' ἐπισφαλῆ φύσει
τὸν βίον ἁπάντων τῆι προνοίαι δεῖ, πάτερ,
τηρεῖν πρὸ πολλοῦ ταῦθ' ὁρῶντ' ἐξ ὧν ἔνι.
'ἀλλ' ἀπόδος, εἰ μή' φήσ' 'ἀρέσκει'. τοῦτο γὰρ
ἰσχυρὸν οἴεταί τι πρὸς τὸ πρᾶγμ' ἔχειν.
οὐκέτι δίκαιον, εἴ τι τῶν τούτου σε δεῖ
ἀποδιδόναι, καὶ τοῦτο πρὸς ζητεῖς λαβεῖν,
ἵν' ἀσφαλέστερον πονηρεύσῃ πάλιν,
εἰ νῦν τι τῶν τούτου σέσωκεν ἡ Τύχη.
εἴρηκα· κρῖνον ὅτι δίκαιον νενόμικας.
Σμ. ἀλλ' εὔκριτ' ἐστί· πάντα τὰ συνεκκείμενα
τοῦ παιδίου 'στι· τοῦτο γινώσκω. Δ. καλῶς·
τὸ παιδίον δ'; Σμ. οὐ γνώσομ' εἶναι, μὰ Δί[α, σοῦ
τοῦ νῦν ἀδικοῦντος, τοῦ βοηθοῦντος δ[ὲ καὶ
ἐπεξιόντος τῷ ἀδικεῖν μέλλοντί σο[ι.
Σ. πόλλ' ἀγαθά σοι γένοιτ⟨ο⟩. Δ. δεινή γ' ἡ [κρίσις,
νὴ τὸν Δία τὸν σωτῆρ'· ἅπανθ' εὑρὼν [ἐγὼ
ἅπαντα περιέσπασμ', ὁ δ' οὐχ εὑρὼν ἔχ[ει.
οὐκοῦν ἀποδιδῶ; Σμ. φημί. Δ. δεινή γ' ἡ κρί[σις,
ἢ μηθὲν ἀγαθόν μοι γένοιτο. Σμ. φέρε τ[αχύ.
Δ. ὦ Ἡράκλεις, ἃ πέπονθα. Σ. τὴν πήραν χ[άλα
καὶ δεῖξον· ἐν ταύτῃ περιφέρεις γάρ. βρ[αχὺ
B¹ πρόσμεινον, ἱκετεύω σ', ἵν' ἀποδῷ. Δ. τί γὰρ ἐγὼ
ἐπέτρεψα τούτῳ; Σ. δός ποτε, ἐργαστήριον.
Δ. αἰ]σχρά γ' ἃ πέπονθα. Σμ. πάν[τ]' ἔχεις; Σ. οἶμαί γε δή,
εἰ] μή τι καταπέπωκε, τὴν δίκην ἐμοῦ

129 φησιν pap., corr. Lef. 131 ουκεστιδικαιον pap. metro intolerabili nec ullo per Menandri reliquias exemplo confirmatum. οὐκέτι similiter adhibetur supra in fr. Z v. 4 138 suppl. Lef. 139 suppl. Crönert al. 140 ταδικειν pap., fort. ⟨τοῦ⟩τ' ἀδικεῖν sc. τὸ παιδίον 141 γενοιτ' pap. 141, 142, 144, 146, 147 suppl. Lef. 143 Є/ . . | J², suppl. Headlam al. 145 suppl. Leo 146 ΠΗΡΑΝΧ pap., suppl. Körte

λέγοντος, ὡς ἡλίσκετ'. Δ. οὐκ ἄ[ν ᾠ]όμην. ΣΥΡ/
Σ. ἀλλ' εὐτύχει, βέλτιστε· τοιούτ[ου]ς ἔδ[ει
θᾶτ[τον] δικάζειν πάντας. Δ. [ἀδί]κ[ου π]ρ[άγ]ματος.
ὦ Ἡράκλεις, οὐ γέγονε δειν[οτέρα] κρίσ[ι]ς.
ΣΥΡ/ πονηρὸς ἦσθας. Δ. ὦ πο[ν]ήρ', ὅπ[ως] σὺ νῦν
τούτῳ φυλάξεις αὐτ[(ά), ἕως ἂν ἐκτραφ]ῇ.
εὖ ἴσθι, τηρήσω σε π[άν]τα [τὸ]ν [χρό]νον.
Σ. οἴμωζε καὶ βάδιζε. σὺ δὲ ταυτί, γύναι,
λαβοῦσα πρὸς τὸν τρόφιμον ἐνθάδ' εἴσφερε
Χαιρέστρατον· νῦν γὰρ μενοῦμεν ἐνθάδε,
εἰς αὔριον δ' ἐπ' ἔργον ἐξορμήσομεν
τὴν ἀποφορὰν ἀποδόντες. ἀλλὰ ταῦτά μοι
πρῶτ' ἀπαρίθμησαι καθ' ἕν· ἔχεις κοιτίδα τινά;
βάλλ' εἰς τὸ προκόλπιον.

Ὀνήσιμος.

μάγειρον βραδύτερον
οὐδεὶς ἑόρακε· τηνικαῦτ' ἐχθὲς πάλαι
ἔπινον. Σ. οὑτοσὶ μὲν εἶναι φαίνεται
ἀλεκτρυών τις καὶ μάλα στριφνός· λαβέ.
τουτὶ δὲ διάλιθόν τι, πέλεκυς οὑτοσί.
ΟΝ/ τί ταῦτ'; Σ. ὑπόχρυσος δακτύ[λι]ός τις οὑτοσί,
αὐτὸς σιδηροῦς· γλύμμα τ[αῦ]ρος ἢ τράγος,
οὐκ ἂν διαγνοίην· Κλεόστρατος δέ τις
ἐσ]τὶν ὁ ποιήσας, ὡς λέγει τὰ γράμματα.
Ο. ἐπί]δειξον. Σ. ἥν· σὺ δ' εἶ τίς; Ο. [ο]ὗτός ἐστι. Σ. τίς;
Ο. ὁ δα]κτύλιος. Σ. ὁ ποῖος; οὐ γὰρ μανθάνω.
Ο. τοῦ] δεσπότου τοὐμοῦ Χαρ[ι]σίου. Σ. χολᾷς.
Ο. ὃν ἀ]πώλεσεν. Σ. τὸν δακτύλιον θές, ἄθλιε.
Ο. τὸν ἡ]μ[έτ]ερον σοὶ θῶ; πόθεν δ' αὐτὸν λαβὼν
ἔχεις]; Σ. Ἄπολλον καὶ θεοί, δεινοῦ κακοῦ.
οἷον] τὸ σῶσαι χρήματ' ἐστὶν ὀρφ[α]νοῦ

153 suppl. Croiset 155 ΔΕΙΙ . . Ι . . ◡ΚΡΙC . C · | J[1] 156 ΠΟ . ΗΡ' . ΟΠ . . CΥΝΥΝ pap., suppl. Croiset 157 ΛΥΤ . . . . ΙΙ | pap. 158 suppl. Lef. 164 καθεν' pap. 174 cf. Plat. Phaon. fr. 173 K; οὗτος Wilam. al. 175—179 suppl. Lef. 180 | . . ◡ . ΓΟ J., suppl. Lef., τὸ Körte

παι]δός· ὁ προσελθὼν εὐθὺς ἁρπάζειν βλέπει.
τὸν δ]ακτύλιον θές, φημί. Ο. προσπαίζεις ἐμοί·
B² τοῦ δεσπ[ό]του 'στι, νὴ τὸν Ἀπόλλω καὶ θεούς.
Σ. ἀποσφαγείην [π]ρότερον ἂν δήπουθεν ἢ
τούτῳ [τ]ι κ[α]θυφείμην. ἄραρε, δικάσομαι
ἅπασι [κα]θ' ἕνα· π[αι]δίου 'στιν, οὐκ ἐμά. —
στρεπτόν τι τουτί, λαβὲ σύ· πορφυρᾶ πτέρυξ.
εἴσω δὲ πάρ[αγ]ε. [σὺ] δέ τί μοι λέγεις; Ο. ἐγώ;
Χαρισίου 'στιν οὑτοσί· τοῦτόν ποτε
με[θύων ἀπώλ]εσ', ὡς ἔφη. Σ. Χαιρεστράτου
εἴμ' οἰκέτης· ἢ σῷζε τοῦτον ἀσφαλῶς
ἢ 'μοὶ δ[ός, ἵν' ἐγ]ὼ σ[ο]ὶ παρέχω σῶν. Ο. βούλομαι
αὐτ[ὸ]ς φ[υλάττειν. Σ. ο]ὐδὲ ἓν μοι διαφέρει·
εἰς ταὐτὸ [γ]ὰρ παράγομεν, ὡς ἐμοὶ δοκεῖ,
δεῦρ' ἀμφότεροι. Ο. νυνὶ μὲν οὖν συνάγουσι καὶ
οὐκ ἔστιν εὔκαιρον τὸ μηνύειν ἴσως
αὐτῷ περὶ τούτων· αὔριον δέ. Σ. καταμενῶ
αὔριον· ὅτῳ βούλεσθ' ἐπιτρέπειν ἑνὶ λόγῳ
ἕτοιμος· οὐδὲ νῦν κακῶς ἀπήλλαχα.
πάντων δ' ἀμελήσανθ', ὡς ἔοικεν, δεῖ δίκας
μελετᾶν· διὰ τουτὶ πάντα νυνὶ σῴζεται.

ΧΟΡΟΥ

Ὀνήσιμος — Ἀβρότονον — Σύρισκος.

ΟΝ/ Τὸν δακτύλιον ὥρμηκα πλεῖν ἢ πεντάκις
τῷ δεσπότ[η] δεῖξαι προσελθών, καὶ σφόδρα
ὢν ἐγγὺς ἤ[δη] καὶ πρὸς αὐτῷ παντελῶς
ἀναδύομαι. καὶ τῶν πρότερόν μοι μεταμέλει
μηνυμάτων· λέγει γὰρ ἐπιεικῶς πυκνά·
'ὡς τὸν φράσαντα ταῦτά μοι κακὸν κακ[ῶς
ὁ Ζεὺς ἀπολέσαι.' μή με δὴ διαλλαγ[εὶς
πρὸς τὴν γυ[ν]αῖκα τὸν φράσαντα ταῦ[τα καὶ

181 suppl. Wil. 185 suppl. v. Arnim 186—190 suppl. Lef. 192 ΗΜΟΙΔ . . . . . . ωC . ΙΠΑΡΕΧω Jensen², qui versum supplevit (Δ . C . . . ωC . . ΠΑΡ J¹) 193 suppl. Croiset 197. 8 : καταμενω | αυριον· οτω pap. 201 τούτου Croiset 203 δεσποτι pap.

συνειδότ' ἀφανίσῃ λαβών. καλῶς [ἐγὼ
ἕτερόν τι πρὸς τούτοις κυκᾶν [ἀπεσχόμην·
κἀνταῦθα κακὸν ἔνεστιν ἐπιεικῶς [μέγα.

ΑΒΡ/ ἐᾶτέ μ', ἱκετεύω σε, καὶ μή μοι κακὰ
παρέχετ'. ἐμαυτήν, ὡς ἔοικεν, ἀθλ[ία
λέληθα χλευάζουσ'· ἐρᾶσ[θαι μὲν ἐδόκουν,
B[3] θεῖον δὲ μισεῖ μῖσος ἄνθρωπ[ό]ς μέ τι. (588)
οὐκέτι μ' ἐᾷ γὰρ οὐδὲ κατακεῖσθαι, τάλαν,
παρ' αὐτὸν ἀλλὰ χωρίς. Ο. ἀλλ' ἀποδῶ πάλιν
παρ' οὗ παρέλαβον ἀρτίως; ἄτοπον. Α. τάλας ΑΒΡ/
οὗτος· τί τοσοῦτον ἀργύριον ἀπολλύει;
ἐπεὶ τό γ' ἐπὶ τούτῳ τὸ τῆς θε[ο]ῦ φέρειν
κανοῦν ἔμοιγ' οἷόν τε νῦν ἐστ', ὦ τάλαν·
ἄγνη γάμων γάρ, φασίν, ἡμ[έ]ρα[ν τρίτ]ην
ἤδη κάθημαι. Ο. πῶς ἂν οὖν, πρὸς τῶν θεῶν,
πῶς ἄν, ἱκετεύω — Σ. ποῦ 'στ[ιν ὃν ζη]τῶν ἐγὼ
περιέρχομ'; οὗτος. ἔνδον [ἀπόδος], ὠγαθέ,
τὸν δακτύλιον ἢ δεῖξον ᾧι μέ[λ]λεις ποτέ·
κρινώμεθ'· ἐλθεῖν δεῖ μέ ποι. Ο. τοιουτονὶ
ἐστὶν τὸ πρᾶγμ', ἄνθρωπε· τοῦ μὲν δεσπότου
ἔστ', οἶδ' ἀκριβῶς, οὑτοσὶ Χαρισίου.
ὀκνῶ δὲ δεῖξαι· πατέρα γὰρ τοῦ παιδίου
αὐτὸν ποῶ σχεδόν τι, τοῦτον προσφέρων,
μεθ' οὗ συνεξέκειτο. Σ. πῶς, ἀβέλτερε;
Ο. Ταυροπολίοις ἀπώλεσεν τοῦτόν ποτε
παννυχίδος οὔσης καὶ γυναικῶν· κατὰ λόγον
ἐστὶν βιασμὸν τοῦτον εἶναι παρθένου.
ἡ δ' ἔτεκε τοῦτο κἀξέθηκε δηλαδή.
εἰ μέν τις οὖν εὑρὼν ἐκείνην προσφέροι

210 fort. μὲν οὖν vel δὲ νῦν (Capps) 211 ΚΥΚΑΝ[Ο]¯.C J[2] ἀφέξομαι Hense 212 suppl. Wil. 214 spiritus, quem in voce ΛΘΛΙΛ videbant Lef. et Körte, non exstat 216 μ'ετι pap. 219 ταλασ: pap. „puncta postea addita videntur“ J[1] 223 suppl. Croiset, cf. schol. Eur. Hippol. 138 = fr. 920 K 225 suppl. v. Arnim al. 226 suppl. Wil. ἔνδον scil. mulieri 234 πωλ pap. 235 καὶ (etiam) interpretandum vid. ut e. g. Arist. Pol. II 6 1265 a 9 δεῖν εἶναι συσσίτια καὶ γυναικῶν

τοῦτον, σαφὲς ἄν τι δεικνύ[οι] τεκμήριον·
νυνὶ δ' ὑπόνοιαν καὶ ταραχὴν ἔχει. Σ. σκόπει
αὐτὸς περὶ τούτων. εἰ δ' ἀνασείεις, ἀπολαβεῖν
τὸ]ν δακτύλιόν με βουλόμενος δοῦναί τε σοὶ
μι]κρόν τι, ληρεῖς· οὐκ ἔνεστιν οὐδὲ ε[ἷ]ς
π]αρ' ἐμοὶ μερισμός. Ο. οὐδὲ δέομαι. Σ. [δε]ῦρο δὴ ΣΥΡ′
ἥξω] διαδραμών — εἰς πόλιν γὰρ ἔρχομαι
νυνί] — περὶ τούτων εἰσόμενος τί δε[ῖ] ποεῖν. —
Α. τὸ] παιδάριον, ὃ νῦν τιθηνεῖθ' ἡ [γ]υνή,
'Ον]ήσιμ', ἔνδον, οὗτος εὗρεν ἀν[θ]ρακεύς;
Ο. ναί], φησίν. Α. ὡς κομψόν, τάλαν. Ο. καὶ τουτονὶ
τ[ὸ]ν δακτύλιον ἐπόντα τοὐμοῦ δεσπότου.
B⁴ Α. αἴ, δύσμορ'· εἶτ', εἰ τρόφιμος ὄντως ἐστί σου, (623)
τρεφόμενον ὄψει τοῦτον ἐν δούλου μέρει
κοὐκ ἂν δικαίως ἀποθάνοις; Ο. ὅπερ λέγω,
τὴν μητέρ' οὐδεὶς οἶδεν. Α. ἀπέβαλεν δέ, φής,
Ταυροπολίοις αὐτόν; Ο. παροινῶν γ', ὡς ἐμοὶ
τὸ παιδάρι[ο]ν εἶφ', ἀκόλουθος. Α. δηλαδὴ ΑΒΡ/
εἰς τὰς [γ]υναῖκας παννυχιζούσας μόνος
ἐνέ[πεσε· κἀ]μοῦ γὰρ παρούσης ἐγένετο
τοιοῦτον ἕτερον. Ο. σοῦ παρούσης; Α. πέρυσι, ναί,
Ταυροπο[λίοις. π]αισὶν γὰρ ἔψαλλον κόραις,
αὐτ[α]ί θ' [ὁμοῦ συ]νέπαιζον. οὐδ' ἐγὼ τότε —
οὔπω γὰρ ἄνδρ' ᾔδειν τί ἐστι — Ο. καὶ μάλα.
Α. μὰ τὴν 'Αφροδίτην. Ο. τὴν δὲ παῖδ⟨α γ⟩' ἥτις ἦν
οἶσθας; Α. πυθοίμην ἄν· παρ' αἷς γὰρ ἦν ἐγὼ
γυναιξὶ τούτων ἦν φίλη. Ο. πατρὸς τίνος
ἤκουσας; Α. οὐδὲν οἶδα· πλὴν ἰδοῦσά γε

239 ανδεικνυ..αντι pap., corr. Croiset 244 δεομαι : ταυταδη | Jensen 245 | . .ↄ pap., suppl. Wilam. 246 | . . ll pap., suppl. Wilam. 249 suppl. Lef. 258 ЄΝЄΙ . . . . . ΜΟΥ J², suppl. Leo al. 259 | ΤΟΥ pap. 260 . αισι . ιγαρ pap., corr. Capps 261 ΛΥΤ . ΙЄ (non fuit Αὔγης) pap., cf. 579 ταύτην λαβὼν χορῶν ἀποσπασθεῖσαν — αὐτῇ θ' ὁμοῦ συνέπαιζον Headlam, v. Leeuwen. Eam ludo non interfuisse evicit Robert (Sb. der Berl. Ak. 1912, 431) sic scribens: αὐτή θ' ὁμοῦ· συνέπαιζον· οὐδ' ἐγώ· τότε — γὰρ 262 καὶ μάλα Wilam. Onesimo dedit. — εστι· pap. 263 παιδ' ητισ pap., suppl. Headlam, Wilam. ἔθ' add. Vollgraf

γνοίην ἂν αὐτήν. εὐπρεπής τις, ὦ θεοί,
καὶ πλουσίαν ἔφασάν τιν'. Ο. αὕτη 'στιν τυχόν; ΟΝ/
Α. οὐκ οἶδ'· ἐπλανήθη γὰρ μεθ' ἡμῶν οὖσ' ἐκεῖ·
εἶτ' ἐξαπίνης κλάουσα προστρέχει μόνη,
τίλλουσ' ἑαυτῆς τὰς τρίχας, καλὸν πάνυ
καὶ λ[ε]πτόν, ὦ θεοί, ταραντῖνον σφόδρα
ἀπολωλεκ[υ]ῖ'· ὅλον γὰρ ἐγεγόνει ῥάκος.
Ο. καὶ τοῦτον [εἶ]χεν; Α. εἶχ' ἴσως, ἀλλ' οὐκ ἐμοὶ
ἔδειξεν· οὐ γὰρ ψεύσομαι. Ο. τί χρὴ ποεῖν
ἐμὲ νῦν; Α. ὅρα σὺ τοῦτ'. ἐὰν δὲ νοῦν ἔχῃς
ἐμοί τε πείθῃ, τοῦτο πρὸς τὸν δεσπότ[ην
φανερὸν ποήσεις· εἰ γάρ ἐστ' ἐλευθέρα[ς
παιδός, τί τοῦτον λανθάνειν δεῖ τὸ γε[γονός;
Ο. πρότερον ἐκείνην ἥτις ἐστίν, 'Αβρότονο[ν,
εὕρωμεν· ἐπὶ τούτῳ δ' ἐμοὶ σὺ νῦν [γ]εν[οῦ —
Α. οὐκ ἂν δυναίμην, τὸν ἀδικοῦντα πρὶν [σαφῶς
τίς ἐστιν εἰδέναι. φοβοῦμαι τοῦτ' ἐγ[ώ,
μάτην τι μηνύειν πρὸς ἐκείνας ἃς λ[έγω.
τίς οἶδεν, εἰ καὶ τοῦτον ἐνέχυρον λαβ[ὼν
C³ τότε τις παρ' αὐτοῦ τῶν παρόντων ἀπέβαλεν (658)
ἕτερος; κυβεύων τυχὸν ἴσως, εἰς συμβολάς,
ὑπόθημ' ἔδωκ'· ἢ συντιθέμενος περί τινος
περιείχετ', εἶτ' ἔδωκεν. ἕτερα μυρία
ἐν τοῖς πότοις τοιαῦτα γίνεσθαι φιλεῖ.
πρὶν εἰδέναι δὲ τὸν ἀδικοῦντ' οὐ βούλομαι
ζητεῖν ἐκείνην οὐδὲ μηνύειν ἐγὼ
τοιοῦτον οὐδέν. Ο. οὐ [κα]κῶ[ς] μέντοι λέγεις. ΟΝ/
τί οὖν ποήσῃ τις; Α. θέασ', 'Ονήσιμε, ΑΒΡ/

γε[
276 νυνεχης pap., corr. Lef. 279 τοσυμ[pap., corr. Leo. variam lectionem (τί τ. δεῖ τὸ συμβὰν λ.) subesse putat Wilam. 280 εστ' pap. 281 επιτουτωδ' εμοισυνυν. ελ[Lef.[1] CΥΝΥΝ . ΡΛ J[1], . ΡΛ (= ρα) vel . ЄΝ J[2], ipse legi CΥΝΥΝ . ЄΝ[, ὅρα Robert. sententiae, non litteris satisfacit σύμπραττε νῦν (Wilam.) — cf. fab. inc. 17 γενοῦ γάρ, ἱκετεύω σ' ἐγώ, Ep. 225, Cith. 50 ὧν μοι γενοῦ | σύμβουλος — addere volebat On. σύνεργος 282, 284 suppl. Lef. 282 πρινι J[1] 294 ποήσῃ] ει corr. in η (cf. Per. 425), H praeter solitum distracta est.

ἂν συναρέσῃ σοι τοὐμὸν ἐνθύμημ᾽ ἄρα.
ἐμὸν ποήσομαι τὸ πρᾶ[γ]μα τοῦτ᾽ ἐγώ,
τὸν δακτύλιον λαβοῦ[σ]α τ᾽ εἴσω τουτονὶ
εἴσειμι πρὸς ἐκεῖνον. Ο. λέγ᾽ ὃ λέγεις· ἄρτι γὰρ
νοῶ. Α. κατιδών μ᾽ ἔχουσαν ἀνακρινεῖ πόθεν
εἴληφα· φήσω ʽΤαυροπολίοις παρθένος
ἔτ᾽ οὖσα᾽ — τά τ᾽ ἐκείνῃ γενόμενα πάντ᾽ ἐμὰ
ποουμένη· τὰ πλεῖστα δ᾽ αὐτῶν οἶδ᾽ ἐγώ.
Ο. ἄριστά γ᾽ ἀνθρώπων. Α. ἐὰν δ᾽ οἰκεῖον ᾖ
αὐτῷ τὸ πρᾶγμ᾽, εὐθὺς ⟨μὲν⟩ ἥξει φερόμενος
ἐπὶ τὸν ἔλεγχον καὶ μεθύων γε νῦν ἐρεῖ
πρότερος ἅπαντα καὶ προπετῶς, ἃ δ᾽ ἂν λέγῃ
προσομολογήσω τοῦ διαμαρτεῖν μηδὲ ἕν
προτέρα λέγουσ᾽. Ο. ὑπέρευγε, νὴ τὸν Ἥλιον.
Α. τὰ κοινὰ ταυτὶ δ᾽ ἀκκιοῦμαι τῷ λόγῳ
τοῦ μὴ διαμαρτεῖν· ʽὡς ἀναιδὴς ἦσθα καὶ
ἰταμός τις᾽. Ο. εὖγε. Α. ʽκατέβαλες δέ μ᾽ ὡς σφόδρα.
ἱμ]άτια δ᾽ οἷ᾽ ἀπώλεσ᾽ ἡ τάλαιν᾽ ἐγώ᾽
φή]σω. πρὸ τούτου δ᾽ ἔνδον αὐτὸ βούλομαι
λα]βοῦσα κλαῦσαι καὶ φιλῆσαι καὶ πόθεν
ἔλα]βεν ἐρωτᾶν τὴν ἔχουσαν. Ο. Ἡράκλεις. ON/
Α. τὸ] πέρας δὲ πάντων ʽπαιδίον τοίνυν᾽ ἐρῶ
ʽἤδ]η γεγονός σοι᾽ καὶ τὸ νῦν εὑρημένον
δε]ίξω. Ο. πανούργως καὶ κακοήθως, Ἀβρότονον.
Α. ἂ]ν δ᾽ ἐξετασθῇ ταῦτα καὶ φανῇ πατὴρ
ὢ]ν οὗτος αὐτοῦ, τὴν κόρην ζητήσομεν
κατὰ σχολήν. Ο. ἐκεῖνο δ᾽ οὐ λέγεις, ὅτι
C[4] ἐλευθέρα γίνῃ σύ· τοῦ γὰρ παιδίου (694)
μητέρα σε νομίσας λύσετ᾽ εὐθὺς δηλαδή.
Α. οὐκ οἶδα, βουλοίμην δ᾽ ἄν. Ο. οὐ γάρ; οἶσθα σύ.

---

298 = fr. 182 K (Priscian. 18, 157) 300 ταυροπωλιοις pap. 301 τἀκείνῃ Wilam., Headlam; scriberem τά γ᾽ ἐκείνῃ (cf. 221), nisi inconcinnitatem, quam sine dubio illi detexerunt, censerem excusationem habere 304 μὲν propter v. 306 (δέ) inserendum videtur; alii alia 310 ωσθ᾽ pap. 311 | καιιταμος pap. σφοδρα· pap. 312—16 suppl. Lef. 317 suppl. Headlam | . . τι Jensen, sed cf. Sam. 33

ἀλλ᾽ [οὔ]ν χάρις τις, Ἀβρότονον, τούτων ἐμοί;
Α. νὴ τὼ θεώ· πάντως γ᾽ ἐμαυτῇ σ᾽ αἴτιον
ἡγήσομαι τούτων. Ο. ἐὰν δὲ μηκέτι
ζητῇς ἐκείνην ἐξεπίτηδες ἀλλ᾽ ἐᾷς
παρακρουσαμένη με, πῶς τὸ τοιοῦθ᾽ ἕξει; Α. τάλαν,
τίνος ἕνεκεν; παίδων ἐπιθυμεῖν σοι δοκῶ;
ἐλευθέρα μόνον γενοίμην, ὦ θεοί,
τοῦτον λάβοι[μ]ι μισθὸν ἐκ τούτων. ΟΝ. λάβοις.
Α. οὐκοῦν συν[αρ]έ[σκ]ει σοι; Ο. συναρέσκει διαφόρως.
ἂν γὰρ κακοηθεύσῃ, μαχοῦμαί σοι τότε·
δυνήσομαι γάρ· ἐν δὲ τῷ παρόντι νῦν
ἴδωμεν, εἰ τοῦτ᾽ ἔστιν. Α. οὐκοῦν συνδοκεῖ;
Ο. μάλιστα. Α. τὸν δακτύλιον ἀποδίδου ταχύ.
Ο. λάμβανε. Α. φίλη Πειθοῖ, παροῦσα σύμμαχος
πόει κατορθοῦν τοὺς λόγους οὓς ἂν λέγω.

Ο. τοπαστικὸν τὸ γύναιον· ὡς ᾔσθηθ᾽, ὅτι
κατὰ τὸν ἔρωτ᾽ οὐκ ἔστ᾽ ἐλευθερίας τυχεῖν,
ἄλλως δ᾽ ἀλύει, τὴν ἑτέραν πορεύεται
ὁδόν. ἀλλ᾽ ἐγὼ τὸν πάντα δουλεύσω χρόνον,
λέμφος, ἀπόπληκτος, οὐδαμῶς προνοητικὸς
τὰ τοιαῦτα. παρὰ ταύτης δ᾽ ἴσως τι λήψομαι,
ἂν ἐπιτύχῃ· καὶ γὰρ δίκαιον. — ὡς κενὰ
καὶ διαλογίζομ᾽ ὁ κακοδαίμων προσδοκῶν
χάριν κομιεῖσθαι παρὰ γυναικός· μὴ μόν[ον
κακόν τι προσλάβοιμι. νῦν ἐπισφαλῆ
τὰ πράγματ᾽ ἐστὶ τὰ περὶ τὴν κεκτημέ[νην.
ταχέως ἐὰν γὰρ εὑρεθῇ πατρὸς κόρ[η
ἐλευθέρου μήτηρ τε τοῦ νῦν παιδί[ου
γεγονυῖ᾽, ἐκείνην λήψεται, ταύτην δ᾽ [ἴσως

325 ΑΛΛ[ΟΥ]ΧΑΡΙC pap., ut vid. 326 παντων pap., corr. Vollgraf εμαυτησ (sine apostropho) pap. 327 τούτων σ᾽· pap. σ᾽ induxit Jensen alii 332 ΛΑΒΟΙC (ΟΝ′ supra) pap. 333 suppl. v. Leeuwen 338 cf. fr. 981 K et Aristaen. ep. II 1, 1 a Körtio cit. 340 ησθεθ᾽οτι pap., corr. v. Leeuwen 347—49 καὶ—προσλάβοιμι = fr. 564 K (Stob. flor. 73, 40) 353 ΤΑΥΤΗΝ′ pap.

ἐπε[ίξεται τὴν ἔ]νδ[ο]ν ἀπολείπειν· ὅ[μως
καὶ νῦν χαριέντως ἐκνενευκέναι δ[οκῶ
τὸ μὴ δι' ἐμ[ο]ῦ ταυτὶ κυκᾶσθαι. χαιρέ[τω
τὸ πολλὰ πράττειν· ἂν δέ τις λάβῃ μ' [ἔ]τ[ι
D³N¹ περιεργασάμενον ἢ λαλήσαντ', ἐκτεμεῖν T¹ (730)
δίδωμ' ἐμαυτοῦ † τοὺς ὀδόντας. † ἀλλ' οὑτοσὶ
τίς ἐσθ' ὁ προσιών; Σμ[ι]κρίνης ἀναστρέφει
ἐξ ἄστεως πάλιν ταρ[ακτι]κῶς ἔχων
αὖτις· πέπ[υσ]ται τὰς ἀλ[ηθείας ἴσ]ως
παρά τινος οὗτος. ἐκπ[οδὼν δὲ β]ούλομαι
ποεῖν ἐ[μαυτόν· ἀσφαλὲς γάρ· οὐ]δ' ἔχειν
πρὸ[ς τοῖς παροῦσι πράγματ' ἐκ τούτου] με δεῖ.

Σμικρίνης — Μάγειρος —
Χαρίσιος, Ἀβρότονον, Χαιρέστρατος.

M¹ Σ. εξηι . . . .
ἄσωτ[ος . . . . ἡ πόλις
ὅλη γὰ[ρ ᾄδει τὸ κακόν . . . .
εὐθὺς . . . . δη VX
σαφῶς . . . .

354 CΠΕΥ vel ΕΠΕ[ΙΞΕ¯. . ¯. ΙΝ .]ΝΛ[Ο]ΝΑΠΟΛΕΙΠΕΙΝ· Ο[Μ . . pap., ἐπείξεται Körte 355 Δ[C] . . | pap., δοκῶ v. Leeuwen 358 Fragmenta N et T iungenda esse persp. Wilam., alii 359 Sunt qui ὀδόντας pro cuppediis amplexentur vel obscaeni nescio quid tangi existiment, tamquam in punienda λαλιᾷ testiculos potius quam linguam exstirpandam censentes. Mihi ὀδόντας per se positum admodum frigere videtur. Vox toberabilis esset, si ridicula exaggeratione talia adicerentur τὴν λάλον γλῶτταν, ὑπερῴαν, γαργαρεῶνα. Sed potius emendandum censeo τοὺς ὀδόντας. Quae conatus sum (τά με προδόντ(α), sim.), displicent. Locus vereor ne aeterna caligine prematur 361 suppl. Herwerden 362 πέπυσται Wilam., alii ἀληθείας ἴσως Jensen ΑΛ . . . . Ϫ pap. 363 et 364 init. suppl. Wilam., cetera e. g. addidi 364 ΛΕ[Χ]ΕΙΝ pap. οὐδ' ἔχειν Jensen 365 ΠΡΟ potius quam ΠΡΑ pap. πράγματα Jensen 366 M et VX iungenda esse vidit C. Robert SB. der Berl. Ak. 1912 p. 404 εξην vel εξημ legit Jensen, sed dubito de μ littera 367 sq. = fr. 882 K (Orion Etym. 23ª 1) quod egregie huic loco inseruit Robert 368 ΟΛΗΓΑ pap.

πίνειν . . . . ιων
τοὔνομ[α καταισχύνοντα μετὰ τῆς] ψαλτρίας
ζῆν αὐτό[ν . . . .] ης ἔφη
πλέον ἡμ[ερῶν . . . .
αὐτὸν διαλλ[αγ . . . .]ενον.
οἴμοι, τάλ[ας . . . .]η
κοινωνὸ[ς . . . .]λη
προσῆλθ[ε . . . . ἐ]γώ,
ὅτε τὴν . . . . υ τοῦτό γε
πυνθαν[όμενος . . . . τ]ησε με
φίλον . . . . ῳ τρόπῳ
ἐναπτ . . . . τότ' ἦν ἁπλοῦν
. . . . καὶ ψάλτρια[ι
. . . . κύβοι, Τύχω[ν.
. . . . ἀ]λλὰ χαιρέτω
. . . . M. . . . .] πολλῶν ἐγὼ
. . . . ων ἐκτησάμην
. . . . — ι . : νοι . . .
. . . . η μοι μόνη
. . . . ιειναιστα . . .
. . . . ΛΟΓ. . .
D[4] T[2] οὐδεὶς [δύνα]ι[τ' ἂν] ἕτερος ὑμῖν. Σ. ποικίλον (764) N[2]

---

371 ΙѠΝ vel ΝѠΝ pap. 372 suppl. e. g. 373 ΖΗΝΑΥΤΟΙ pap. 374 ΠΛΕΟΝΗΜϹ pap. ἡμερῶν Robert 375 f. διαλλαγέντα 377 ΛΗ vel ΔΗ pap. f. δηλαδή 378 ϹΓѠ (ἐγώ) Jensen 380 ΙΗϹΕΜΕ pap. primam litteram τ esse probabile est propter spatium (e. g. ἠπάτησέ με) 381 ωτροπω (punctum quod legebatur inter ω et τροπω pars est litterae ω) 382 ΓΟΤΗΝΑΠΛΟΥΝ pap. (ΤΑΤΗΝ Jensen) 383 ΨΑΛΤΡΙΑ non excl. ψάλτριαι (cf. κύβοι) 384 ΤΥΧϹ vel ΤΥΧΟΙ . vel ΤΥΧѠ . pap. Τύχων . . . δαίμων ἐστὶ περὶ τὴν Ἀφροδίτην Etym. Magn. 773, 1. cf. Anth. Pal. IX 334. Talis deus Athenis notus (cf. Strabo. p. 588) apte talem claudat seriem: ψάλτριαι, πότοι, γέλωτες, κότταβοι, κύβοι (vel quidquid fuit) 386 coquus induci videtur talia fere conquerens νὴ τὸν Δί' ἐκ πολλῶν ἐγὼ ἐνθάδε παρελθὼν πραγμάτων ἐκτησάμην κακὰ πολλά 388 –Ι . : ΝΟΙ vel ΙΝΟΙ Jensen 390 στά[σιν] v. s. Jensen 391 λεγ vel λει Jensen 392 ΟΥΔΕΙϹ – ϽΚ(Ν) . Ι . . . ΕΤΕΡΟϹ ; dicere videtur coquus: tales

ἄριστον ἀριστῶσιν. ὢ τρισάθλιος
ἐγὼ κατὰ πολλά· νῦν μὲν οὖν οὐκ οἶδ' ὅπως
ἁ[λί]σκ[ομ]' ἀπ[ερίσκε]πτος. ἀλλ' ἐὰν πάλιν
π . . . . μαγείρου [τις] τύχῃ
σ . ιν . . . . ις, βαλεῖτ' [εἰ]ς μακαρία[ν.
. . . . Σ . . . . ις τίνος ΣΜΙ
. . . . ν . . Μ²
. . . . κει
τα . . . . ιν
πα . . . . α . αξ
κα[. . . . μ]ενον
ΣΜ' Χα[ρίσιος . . . . μετὰ τῆς ψαλ]τρίας
Χαρ' νῦ[ν . . . .]ωσι καὶ
με . . . . Α. ἆρά γε
. σ . . . . χουσι δή
σ[. . . . πέ]μπειν, ἵνα
. . . . τὰ χρήματα
αι . . . . ν . Σ. ἡλίκη
ει . . . . λομαι·
εἶν[αι μὲν οὖν ἔοικε] δέσποιν' οἰκίας.
ΣΙ' ὦ Ἡρ[άκλεις . . . . Χ. ὁ] Σιμμίας·
ἀπίωμ[εν . . . . νὴ τ]ὸν Ἥλιον
μικροῦ γ[ε . . . .] ταύτην ἐγώ.
πρώην αρ . . . . τὰς ὀφρῦς

---

praestare cuppedias τῶν ὁμοτέχνων | οὐδεὶς δυνήσεθ' ἕτερος ὑμῖν, sed litterarum vestigia post οὐδείς tam incerta sunt, ut spondere nihil possis 395 Λ . (.) CKO(Є) / ⋅ΛΠ . . . . . . Π⁻OC post primam Λ exigua pars litterae Λ apparet. Deinde primo obtutu CKι Λ legis, sed ingenti Λ et deficiente inferiore parte litterae Є. Deinde non ΛΛ sed ΛΠ sequitur. Est forma Π litterae qualis — evolve photograph. tab. XXXVIII — in fr. Q v. 6 in παιδάριον occurrit, et passim in Cairensi. Si littera esset Ν vel Μ, in papyro hasta dextra appareret 396 | Γ pap. 397 ΙC . ΛΛЄΙΤ'C . CΜΛΚΛΡΙΛC | β. εἰς μακαρίαν Wilam. Talia fere Smicrinem minitari posse puto: ἀλλ' ἐὰν πάλιν παρὼν μάγειρος ἢ μαγείρου τις τύχῃ ἐχῖνος (fr. 185 K) ἢ πνιγεύς, βαλεῖτ' εἰς μακαρίαν 410 cf. Per. 62 411 βούλομαι Robert, f. οἴχομαι 413 suppl. Lef. 415 γε Robert 416 e. g. πρώην ἄρ' εἶχε τοῦ μετώπου τὰς ὀφρῦς ἐπάνω — εἶχε Robert

ἐπάνω ϑ . . . .
Σ. ἔγωγ' ἀπόλ[ωλα . . . .
ὀκνηρὸ[ς . . . .
ΣΜΙ' ἔπειτα δ . . . .
ϑυγατέρ' α[. . . . . παιδίον
τέτοκ' ἐκ [Χαρισίου . . . .
λαβόντ' ἀ[παγαγεῖν τὴν ἐμὴν . . . .
παρακαλ[εσ . . . .
διακονε[ῖν . . . .
Σ. Χαρ[ίσιος . . . .
τὸ φ[. . . . . ὁ γεννάδας
Υ ὑμῶν ἑταῖρος οὗτος οὐ[δ]' ᾐσ[χύ]νετο
παιδάρι[ον] ἐκ πόρνης [ποεῖν. . . . .
προσω[π . . .] ιιετ . . . .
εἴληφ . . . . τις R
παροι . . . . ϑας
ενη . . . . [μ]άλα
. . . . τεται
. . . . ο]υ βίου
. . . . το]ῦ δυστυχοῦς:
. . . . ο]ν δυστυχῆ:
Σ. τοῦτο[ν μὲν οὖν ἐῶμε]ν. ἀλλ' ἴσως ἐγὼ
πολυπραγμ[ονῶ πλεί]ω τε πράττω τῶν ἐμῶν.
κατὰ λόγον ἐξὸν [ἀπιέν]αι τὴν ϑυγατέρα
λαβόντα, τοῦτο μὲ[ν π]οήσω καὶ σχεδὸν
δεδογμένον μ[οι τυγχ]άνει. μαρτύρομαι.
ὑμᾶς δ' ὁμο[λογεῖν ἀξιῶ τὰ γεγονότα,
μεϑ' ὧν [ἔπινεν οὗτος, ὅστις τὴν ἐμὴν
ϑυγατέρα [ταῦτ' ἐπόησε νῦν τὰ δεινὰ καὶ
ἀνάξι'. ὑ . . . .
. . . μὴ δεσ[ποτ . . . .
καίπε[ρ . . . .

422 suppl. Robert 423 ἀπαγαγεῖν Körte 430 πρόσωπον Robert 439 πολυπραγμονῶ Lef. πλείω Wilam. τωνεμωνπραττω pap., corr. Leo 441 suppl. Jensen 443 sqq. e. g. supplevi 444 μεϑωνο (vel σ) Jensen 447 personae nomen incertissimum (fort. ΣΙΜ) 448 καίπερ Jensen

desunt v. f. 14.

Υ μισεῖ τὸν ἡδὺν λεγόμενον τοῦτον βίον· (836)
ἔ[π]ινε μ[ε]τὰ [τοῦ δ]εῖνος, εἶχεν ἑσπέρας
τὴν δεῖν' — Σ. ἔμελλ]εν δ' αὔριο[ν τὴν δ]εῖν' ἔχει[ν.
. . . . ους
αυ[. . . . ἔτ]εκεν
ἀλλ' . . . . ει
ἀπα . . . .
οὐδ' ἀλ . . . .
μέρος τ[ι . . . .
ἢ μή μ' ἔ[τ' εἴπῃς . . . .
ἡμῖν κεκήδ[ευκ'. Χ. . . . . ΧΑΙΡ'
ὑψηλὸς ὤν τις[Σ. οἰ]μώξεται
καταφθαρείς τ' ἐ[ν ματρυ]λείῳ τὸν βίον
μετὰ τῆς καλῆς [γυν]αικός, ἣν ἐπεισάγει,
βιώσεθ', ἡμᾶς δ' [οὐ]δὲ γινώσκειν δοκῶν
. . . . εἰ]σάξει λαβὼν
. . . . δ]ηλαδή
. . . . ὡς] ἐμοὶ δοκεῖ
. . . . ν
. . . . ἐστί μοι

Παμφίλη, Ἀβρότονον.

fr. 184 K. - - - - - - - - - - - - - ἐξετύφην μὲν οὖν
κλαίουσα - - - - - - - - - - - -
Α. [τὸ παιδίον
Η¹ ἔξειμ' ἔχουσα· κλαυμυρίζεται, τάλαν, (1013)
πάλαι γάρ· οὐκ οἶδ' ὅτι κακὸν πέπονθέ μοι.
Π. τίς ἂν θεῶν τάλαιναν ἐλεήσειέ με;

451 ΝΕΙΝ'ΕΧΕΙ sine interp. pap. 453 suppl. Robert 458 ΗΜΗΜΕΙΣΙ suppl. e. g. 459 κεκηδευκώς Wilam. 460 οὐκ οἰμώξεται Robert — οἰμώξεται — βίον = fr. 177 K (Harpocr. et Suidas s. v. ματρυλεῖον), unde versum suppl. v. Arnim 462 suppl. Lef. 463 spatium sufficit litteris Δ[ΕΟΥ]ΔΕ γινωσκων pap., corr. Körte fr. 184 K (schol. Eurip. Phoen. 1154) — Pamphilam induci perspexit Jensen (Mus. Rhen. 1910 p. 635) 471 rest. v. Leeuwen

[Α]ΒΡ′ ὦ φίλτατο[ν τ]έ[κνον, προσ]όψει μη[τέ]ρα·
καὶ [γὰρ προσ]ῆλθ[ε] και[ρία]. Π. πορεύσομαι.
Α. μικ[ρό]ν, γύναι, πρόσμεινον. Π. ἐμὲ καλ[εῖ]ς; Α. ἐγώ.
ἐναν]τίον [βλέ]π’, [εἴ μ]ε γινώσκεις, γύναι.
αὕτη ’στιν [ἣν] ἑό[ρ]ακα. χαῖρε, φιλτάτη.
Π. τί[ς δ’ εἶ] σύ; Α. [χεῖρ]α δ[εῦ]ρό μοι τὴν σὴν δίδου.
λέγε μοι, [γ]λ[υ]κεῖ[α]· πέρυσιν ἦ[λθ]ες ἐ[πὶ θέαι
τοῖς Ταυροπολίοις ἐ[ν διαφαν]ε[ῖ χ]λαν[ι]δ[ίῳ;
Π. γύναι, πόθεν ἔχεις, εἰπέ μοι, τὸ παιδί[ον
λ]αβοῦσ’; Α. ὁρᾷς τι, φιλτάτη, σοι γνώριμον
ὧν] τοῦτ’ ἔχει; μηδέν με δείσῃς, ὦ γύναι.
Π. οὐκ [ἔ]τεκες αὐτὴ τοῦτο; Α. προσεποιησάμην,
οὐχ ἵν’ ἀδικήσω τὴν τεκοῦσαν, ἀλλ’ ἵνα
κατὰ σχολὴν εὕροιμι. νῦν δ’ εὕρηκα σέ·
ὁρῶ γὰρ ἣν καὶ τότε. Π. τίνος δ’ ἐστὶν πατρός;
Α. Χαρισίου. Π. τοῦτ’ οἶσθ’ ἀκριβῶς, φιλτάτη;
Α. ἐγῷ]δ’, ἐ[γῷδ’. ἀλλ]’ οὔ σε τὴν νύμφην ὁρῶ
τὴν ἔνδον οὖσαν; Π. ναιχί. Α. μακαρία γύναι,
θεῶν τις ὑμᾶς ἠλέησε. — τὴν θύραν
τῶν γειτόνων τις ἐψόφηκεν ἐξιών·
εἴσω λαβοῦσά μ’ ὡς σεαυτὴν εἴσαγε,
ἵνα καὶ τὰ λοιπὰ πάντα μου πύθῃ σαφῶς.

472 ⲰⲪΙⲖΤⲀΤΟΙ . ΙⲈ ′ Ι . . Ι . . . . [Ο]ΨⲈΙΜ . ¯ . ΡⲀ pap. ΜΗ ¯ . ΡⲀ J[1] τέκνον Jensen, cui medelae egregie favent quae delineavi 473 ΚⲀΙ . . ’ . Ι . . ΗⲀⲤ . ΚⲀ . ΡΙⲀ(Ⲱ): pleraque incerta; constare videtur καιρία vel ἐν καιρίῳ, post hoc semel duo puncta enotavi, bis alterum (superius) 474 in. suppl. Jensen 475 ⲤΙ . . ΙΤΙΟΙΙΙ[Ⲁ] . Π’ . . (.)Ⲉ spatio aptius εἴ με (num) quam οὔ με γ. γ.; 476 cf. v. 486 ὁρῶ γὰρ ἣν καὶ τότε 477 ¯Ι . . . . ⲤΥ . . ¯Ⲁ(Ⲉ)Δ[ⲈΥ]ΡΟ χεῖρα Jensen 478 Η / [Ο]ⲈⲤⲈ¯ΙⲤⲤ\Ι | γλυκεῖα Jensen 479 cf. v. 272, adde Achaei Eretr. fr. 40 quaeque ibi adfert Nauck, Aristoph. Lys. 48 cum adnotationibus Blaydesianis, Aristaen. ep. I 25 ταραντινίδιον, ἐξ οὗ διαφανῶς ἡ ὥρα διέλαμπεν 482 suppl. Lef. 485 utrum exstet νυνδ: an νυνδ’ difficile est diiudicatu, me iudice exstat ΝΥΝΔ’ 488 | . . . ΙΝⲈ(.) . . . . Ⲥ’ΟΥⲤⲈ Jensen; legisse mihi videor | Ⲥ . . . ⲀⲈ . . . . . . \’ΟΥⲤⲈ—Γ littera, ut videtur, in Ⲥ mutata est (cf. Lef.); ἐγῷδα olim Körte. Supplementum admodum dubium. Nec placet ἐπαινέσει μ’. ἀλλ’ οὔ σε, quod litteris a Jenseno descriptis respondeat.

Ὀνήσιμος.

ΟΝ/ ὑπομαίνεθ' οὗτος, νὴ τὸν Ἀπόλλω, μαίνεται,
μεμάνητ' ἀλ[η]θῶς, μαίνεται, νὴ τοὺς θεούς·
τὸν δεσπότην λέγω Χαρίσιον. χολὴ
μέλαινα προσπέπτωκεν ἢ τοιοῦτό [τι·
τί γὰρ ἂν [τ]ις [εἰκ]άσειεν ἄλλο γεγον[έναι;
πρὸς ταῖς θύραις γὰρ ἔνδον ἀρτί[ως πολὺν
χρόνον διακύπτων ἐνδ[ελεχῶς ἐπάλλετο.
ὁ πατὴρ δὲ τῆς νύμφης τι περὶ [τοῦ πράγματος
ἐλάλει πρὸς ἐκείνην, ὡς ἔοικ', ὁ δ' [οἷα μὲν
H² ἤλλαττε χρώματ', ἄνδρες, οὐδ' εἰπεῖν καλόν. (1047)
'ὦ γλυκυτάτη' δὲ 'τῶν λόγων οἵους λέγεις;'
ἀνέκραγε τὴν κεφαλήν τ' ἀνεπάταξε σφόδρα
αὑτοῦ. πάλιν δὲ διαλιπὼν 'οἵαν λαβὼν
γυναῖχ' ὁ μέλεος ἠτύχηκα'. τὸ δὲ πέρας
ὡς πάντα διακ[ο]ύσας ἀπῆλθ' εἴσω ποτέ,
βρ[υ]χηθμὸς ἔνδον, τιλμός, ἔκστασις συχνή.
'ἐγὼ γὰρ ἀλιτήριος' πυκνὸν πάνυ
ἔλεγεν 'τοιοῦτον ἔργον ἐξειργασμέ[ν]ος
αὐτὸς γεγονώς τε παιδίου νόθου πατὴρ
οὐκ ἔσχον οὐδ' ἔδωκα συγγν[ώμ]ης [μέ]ρος
οὐθὲν ἀτυχούσηι ταὔτ' ἐκείνῃ, βάρβαρος
ἀνηλεής τε', λοιδορεῖ τ' ἐρρωμένως
αὑ]τὸν βλέπει θ' ὕφαιμον ἠρεθισμένος.
πέφρικ' ἐγὼ μέν, αὖός εἰμι τῷ δέει·
οὕτως ἔχων γὰρ αὐτὸν ἂν ἴδῃ μέ που
τὸν διαβαλόντα, τυχὸν ἀποκτείνει[ε]ν ἄν.

495 μεμάνητ' agn. Jensen A versu 496 incipit fragmentum Oxyrhynchi repertum, pap. Oxyrh. 1236 ed. ab Arthuro Hunt, Oxyrh. papyri X p. 88 sqq. (orthographica non enoto) 497 suppl. Robert 498 τιγαραντισε Ox. 1236, suppl. Croiset 499 suppl. Leo 500 ΕΝΛ[pap. 501 ΠΕΡΙΙ[pap., suppl. Croiset Υ . Ρ . . . . | Ox. 1236 502 Δ'ΟΙΑΜΕΝ Ox. 1236 513 ΡΟΣ | pap., . . ΓΓΝΩΜΗΣΜΕΡΟΣ Ox. 1236, suppl. v. Leeuwen 515 τ'ελοιδορειτ' pap. qui sic distinxit (asyndeto intolerabili), etiam αὐτῷ v. 516 pro αὐτὸν inculcavit 516 | . ΙΤΩ pap.

διόπερ ὑπεκδέδυκα δεῦρ᾽ ἔξω λάθρᾳ.
καὶ ποῖ τράπωμαί γ᾽ ἐς τί βουλῆς; οἴχομαι,
ἀπόλωλα. τὴν θύραν πέπληχεν ἐξιών.
Ζεῦ σῶτερ, εἴπερ ἐστὶ δυνατόν, σῷζέ με.

Χαρίσιος — Ὀνήσιμος, Ἀβρότονον.

ΧΑΡ/ ἐγώ τις ἀναμάρτητος, εἰς δόξαν βλέπων,
καὶ τὸ καλὸν ὅτι πότ᾽ ἐστὶ καὶ ταἰσχρὸν σκοπῶν,
ἀκέραιος, ἀνεπίπληκτος αὐτὸς τῷ βίῳ —
εὖ μοι κέχρηται καὶ προσηκόντως πάνυ
τὸ δαιμόνιον· ἐνταῦθ᾽ ἔδειξ᾽ ἄνθρωπος ὤν.
ὦ τρισκακόδαιμον, μεγάλα φυσᾷς καὶ λαλεῖς·
ἀκούσιον γυναικὸς ἀτύχημ᾽ οὐ φέρεις,
αὐτὸν δὲ δείξω σ᾽ εἰς ὅμοι᾽ ἐπταικότα.
καὶ χρήσετ᾽ αὐτὴ σοὶ τότ᾽ ἠπίως, σὺ δὲ
ταύτην ἀτιμάζεις, ἐπιδειχθήσει θ᾽ ἅμα
ἀ]τυχὴς γεγονὼς καὶ σκαιὸς ἀγνώμων τ᾽ ἀνήρ.
ὅμο]ιά γ᾽ εἶπεν οἷς σὺ διενόου τότε
πρὸς] τὸν πατέρα· κοινωνὸς ἥκειν τοῦ βίου
παρ᾽ ἄνδρα κ]οὐ δεῖν τἀτύχημ᾽ αὐτὴν φυγεῖν
τὸ συμβ]εβηκός. σὺ δέ τις ὑψηλὸς σφόδρα
Ox. 1236ᵛ εἶναι σοφός τε κἀναμάρτητος δοκῶ]ν (1083)
τάχ᾽ εὑρέθης πονηρὸς ὢν καὶ] βάρβαρο[ς.
χρῆσθαι γάρ, ὦ δειλότατε, ν]ῦν ταύτῃ σοφῶς
ἔμελλες· οὐδείς ποτ]ε μέτεισι, διὰ τέλους
ἣν λοιδορήσει γειτ]όνων τις· ὁ δὲ πατὴρ
ἀπρεπ]έστατ᾽ αὐτῆι χρήσεται. τί δέ μοι πατρός;
ἐρ]ῶ διαρρήδην· 'ἐμοὶ σύ, Σμικρίνη,
μὴ] πάρεχε πράγματ᾽, οὐκ ἀπολείπει μ᾽ ἡ γυνή·
τ]ί οὖν ταράττεις καὶ βιάζῃ Παμφίλην;' —
τ]ί σ᾽ αὖ βλέπω 'γώ; ΟΝΗ. πάνυ κακῶς ἔχω σφόδρα.

---

521 fort. ἢ τί 529 καιμεγαλα pap., και del. Lef. 535 suppl. Leo, v. Arnim 537 suppl. Housman 538 suppl. v. Arnim 539—541 e. g. suppl., ut clarescat sententia 544 αυτησ pap. 545 διαρρηδην: pap., initia v. 545 sqq. suppl. Hunt, idem 549, 551

ο]ἴμοι, τάλας. καὶ σο[ῦ δ]έομαι τούτοις [μόνον
β¹ μή μ' ἐγκα|ταλίπῃς. Χ. οὗτος ἐπακροώμε[νος
ἕστηκας, ἱερ|όσυλ', ἐμοῦ[; Ο. μ]ὰ τοὺς θεούς,
ἀλλ' ἀρτίως ἐξ|ῆλθον. „ἆ[ρ' ἐμοὶ] λαθεῖν
ἔσται σε πρᾶ[γμα"] διὰ [τέλους φ]ῄς [„ἀδύνατον;
πάντ' ἐ|πακροάσει." Χ. πότ[ε γὰρ] οὔ; Ο. θ[έλων δὲ νῦν
ἐγώ σ|ε λανθάνειν πον[ῶ πάλιν τρέμων
βροντ|ῶντα. Χ. δια[τ]ε[λεῖς περίεργος ὤν, τάλας;
ἀλλ' οὐ|θὲν ὀφθήσε[ι κυκῶν ἔτ'. Α. ἐπιτέον.
Χ[Α]Ρ' τίς εἶ σ|[ύ; Α. τίς; ληρ]εῖς. [Χ. τί βούλει; ποῖ φέρει;
ΑΒΡ' οὐκ εἰς |[ἀγῶ]ν[α. Χ. τί δὲ θέλεις; Α. ἄκουε δή·
incipit Ox. 1236 οὐκ ἦν ἐ[μὸν γάρ, ὅτι τότ' εἶχον παιδίον.
Χ. οὐκ ἦν σό[ν; ἐμὲ δὲ βουκολεῖς, ...;
Α[ΒΡ]' βούλει μ' ἀπ[ελθεῖν; Χ. βούλομ'. Α. ἤν, εἰσέρχομαι.
[Χ]ΑΡ' ἀλλ' ἐξαπέρ[χου. Α. τοῦτο καὶ πάλαι ποεῖν
ἔμ' ἔπρ[επε. Ο. μεῖνον. πάντα μηνύσω. σὲ γὰρ
ἔ[δ]εισα, [δέσποτ', ἐξεπειράθην τε σοῦ.
Χ. τί φῄς, 'Ον|[ήσιμ']; ἐξεπειράθη[ς ἐμοῦ; Q²
expl. β¹ Ο. αὕ]τη μ' [ἔ]π|[ε]ισε νὴ τὸν Ἀπόλλω [καὶ θε]ού[ς.
καὶ σύ μ]ε περισπᾷς, ἱερόσυλε; Α. μὴ μάχου,

---

549 σοῦ] alloquitur Abrotonon scaenam ingressuram τουτοις . ε . . α | vel τουτοισμ . . α . pap. 550 fr. β¹ Cairense initia versuum exhibet, quae linea distinxi 552, 553, 555 paragraphum non habent. Ox. 1236, in quo paragraphi desunt, puncta habet post ἐπακροάσει (554) et habuisse videtur post ἐμοῦ (551) 553 ЄϹΤΑΙϹЄΠΡΑΙ β² ЄϹΤΑΙϹЄΠΡΑ . . ΜΙΑ Ox. litteram ante Μ velut Υ apparere adscribit Hunt, sed fortasse pars Λ vel Μ litterae fuit littera illa incerta 554 : ποτ . . . . ουθ supplementa et huius versus et sequentium e. g. data esse vix est quod dicam 555 sqq. in exemplo Oxyrh. desunt initio 2, 3, 5, 8, 9 litterae 558, 559, 563 nomina adscripta margini in exemplari Cairensi paene evanida sunt. Quae depinxi sunt perquam incerta. Dedi tamen quae videbar mihi dispicere propter rei gravitatem 558 | . . . . ΛΥ . ЄΙϹ Ox. 1236 560 ἐμὸν Körte, idem σόν (561) et ἀπελθεῖν (562) 564 ЄΜ'ЄΠΡ β¹ 565 Є . ЄΙϹΑ probabilius quam Є . ЄΙϹΟ(Є) . secunda littera magna erat 566 β¹ et Q² in unum coire apparet. Litterae ΤΙΦΗϹΟΝ certae sunt 567 | . . ΠΙΙΜ'ΟΠ pap., cernitur arcus Π litterae proprius. — καὶ θεούς Jensen 568 | . . . . . . Є pap.

σκαιότ]ατε· τῆς γαμετῆς γυναικός ἐστί σου
τέκνον] γ[ά]ρ, οὐκ ἀλλότριον. Χ. εἰ γὰρ ὤφελεν.
Α. νὴ τὴν] φίλην Δήμητρα. Χ. τίνα λόγον λέγεις;
Α. ναὶ μὰ Δί'] ἀληθῆ. Χ. Παμφίλης τὸ παιδίον
ἐκεῖν' ἄρ' ἦ]ν; Α. καὶ σόν γ' ὁμοίως. Χ. Παμφίλης;
'Αβρότο]νον, ἱκε[τ]εύω σε, μ[ή] μ' ἀναπτέρου.

desunt versus f. 13.

Χ. . . . . αι γὰρ [ι . . . . . .
. . . . Α. πῶς ἐγώ, τάλαν
. . . . πρ]ὶν πάντ' εἰδέναι
. . . . ; Χ. ὀρθῶς λέγεις.
. . . . ομει:
. . . . σρε
. . . . ὅμως
. . . . τοῦ]το δή
. . . . βούλομαι
. . . . πράγ]ματα.

[ΧΟΡΟΥ]

'Ονήσιμος, Χαιρέστρατος, Σωφρόνη.

Ο. . . . . ἀφ]ειμένον
. . . . τα]ύτη[ν ἐγὼ
Q¹ σοὶ παραδίδ]ω[μι μα]ρ[τύ]ρ[ων] ἐναντίο[ν,
Χ[α]ι[ρέστρ]ατ'. ἤδη τὸ μετὰ τα[ῦ]τα σκεπτέ[ον,

---

570 suppl. Körte 571 suppl. Headlam al. 573 | . . . . (.) ΙΝ: pap., littera ante Ν vel Ι vel Η fuisse potest ἦν v. Leeuwen 574 | . . . . . . ΙΙΟΝ pap. (probabiliter ΝΟΝ) suppl. Lef. 575—478 talis erat sententia:

Χ . . . καὶ πάλ]αι γὰρ [εἰκὸς ἦν
τούτων σε μηνύειν τι. Α. π]ῶς ἐγώ, τάλαν,
φανερὸν ποεῖν τούτων τι πρ]ὶν πάντ' εἰδέναι
σαφῶς ἐδυνάμην; οὐχ ὁρᾷς;] Χ. ὀρθῶς λέγεις.

580 ‾ερε Jensen, tamquam ἀβέλτερε 581 ΟΜωC vel ΛΜΟC pap. finem actus IV talem fere fuisse putes: Χ. ἀλλ' εἰσίωμεν· εἰδέναι γὰρ βούλομαι τὰ τῆς γυναικὸς πῶς ἔχει νῦν πράγματα, initium quinti Ο. ὁρᾶτέ μ' ἔνδον ἀρτίως ἀφειμένον. — Coniungenda esse β² et Q¹ elucet 586 ΥΤΗ(.)ΙC . . pap. 587 | . . . . ΝωΛ . [ΜΛ]ΡΙΙΡ . . pap. 588 ΗΔΕ pap. σκεπτέον Jensen

ὅπως [δια]μενεῖς ὢν Χαρισίῳ [φ]ί[λος, expl. β^2
οἷός ποτ' — οἶσθα — πιστός. 'οὐ γάρ ἐσ[τ', ἔφη,
ἑταιρίδιον τοῦτ' οὐδὲ τὸ τυχὸν [παίγνιον,
σπουδῇ δὲ καὶ παιδάριον ἡ[μῖν εὗρε νῦν.' —
ἐλεύθερος, πάξ. μὴ βλέπ' εἰς [τὰ πρὶν κακά.
καὶ πρῶτον αὐτὴν κατὰ μόνα[ς σε, Σωφρόνη,
τὸν φίλτα[το]ν καὶ τὸν γλυκύτατ[ον παῖδα δεῖ] [ἔνδον προσειπεῖν.

desunt v. f. 13.

β^3 . . . . ιοτι . . . .
. . . . . ι καλ . . . .
εἰ τὸ καλὸν ε . . . .
ὥσπερ λύκ[ος . . . .
ἀπελήλυ[θ . . . .
ἀποστ[ερεῖν . . . .
φιλο . . . .
διαι . . . .
οὐ κρί[νομαι . . . .
καὶ ν . . . .
ὅσα μσ . . . .
ἦν μοιι . . . .
ἔνδον ποι . . . .
ἔοικεν: οὐ . . . .
. . οσπσ . . . .

desunt v. f. 20.

β^4 . . . . ελαι . . . .
. . . . τ]ουτ . . ι
. . . . ιηι . σ . αι . ι . . ι
. . . . ου[κ]ακα . . .

---

589 l vocis φίλος exstat in ultimo versu fragmenti β^2 590 ποτ' agn. Jensen 592 ΗΜΙ. (ἡμῖν) probabilius est quam ΗΔΙ (ἤδη vel ἥδιστον—ἤδη σῴζεται) 593 ΒΛΕΠ'ΕΙ[C] legi, ΕΙC[Τ] Jensen 595 vel θυγατριδοῦν νῦν χρὴ προσειπεῖν 601 C incerta 603 ΟΥΚΡΙ vel ΟΥΚΟΙ 611 ΕΛΑΜ vel ΕΛΑΒ

. . . . ɔισω . . .
. . . . 'Α]βρότονον
. . . . ιωι :
. . . . τε . . .
. . . . γ . . .
. . . . αν . . σπ . συ
. . . . υι\ . ◡ ⲛσ . ι :
. . . . ουτε . . . . . .
. . . . το]ῦτ' ἀλλὰ σύ.
. . . . ιιστουτ . (.)ιι
. . . . λ . . . . . .

desunt v. f. 20.

Η³ Χ. σώφρονα· τοιαυτησὶ γὰρ οὐκ ἀπέσχετ' ἂν (1224)
ἐκεῖνος, εὖ τοῦτ' οἶδ'· ἐγὼ δ' ἀφέξομαι.

Σμικρίνης, Ὀνήσιμος, Σωφρόνη.

ΣΜΙ/ ἂν μὴ κατάξω τὴν κεφαλήν σου, Σωφρόνη,
κάκιστ' ἀπολοίμην. νουθετήσεις καὶ σύ με;
προπετῶς ἀπάγω τὴν θυγατέρ', ἱερόσυλε γραῦ;
ἀλλ' ἢ περιμένω καταφαγεῖν τὴν προῖκά μου
τὸν χρηστὸν αὐτῆς ἄνδρα καὶ λόγους λέγω
περὶ τῶν ἐμαυτοῦ; ταῦτα συμπείθεις με σύ;
οὐκ ὀξυλαβῆσαι κρεῖττον; οἰμώξει μακρά,
ἂν [ἔτ]ι λαλῇς τι. κρίνομαι πρὸς Σωφρόνην;
μετάπεισον αὐτήν, ὅταν ἴδῃς. οὕτω τί μοι
ἀγαθὸν γένοιτο, Σωφρόνη, γάρ, οἴκαδε
ἀπιών — τὸ τέλμ' (ε)ἶδες παριοῦσ' — ἐνταῦθά σε
τὴν νύκτα βαπτίζων ὅλην ἀποκτενῶ,
κ[ἀ]γώ σε ταὔτ' ἐμοὶ φρονεῖν ἀναγκάσω
καὶ [μ]ὴ στασιάζειν. — ἡ θύρα παιητέα·
κεκλειμένη γάρ ἐστι. παῖδες. παιδίον·
ἀνοιξάτω τις. παῖδες, οὐχ ὑμῖν λέγω;

Ο. τίς ἔσθ' ὁ κόπτων τὴν θύραν; ὦ, Σμικρίνης ΟΝ/
ὁ χαλεπός, ἐπὶ τὴν προῖκα καὶ τὴν θυγατέρα

---

616 suppl. Jensen 617 fort. Χαρισίωι: 624 fort. τουτονί
631 αλλα pap., corr. Wilam. 640 |κ . γωσοι pap.

ἥκων. Σ. ἔγωγε, τρισκατάρατε. Ο. καὶ μάλα
ὀρθῶς· λογιστικοῦ γὰρ ἀνδρὸς καὶ σφόδρα
φρονοῦντος ἡ σπουδή. Σ. τὸ δ' ἅρπασμ', Ἡράκλεις,
θαυμαστὸν οἷον· πρὸς θεῶν καὶ δαιμόνων —
Ο. οἴει τοσαύτην τοὺς θεοὺς ἄγειν σχολήν,
ὥστε τὸ κακὸν καὶ τἀγαθὸν καθ' ἡμέραν
νέμειν ἑκάστῳ, Σμικρίνη; Σ. λέγεις δὲ τί;
Ο. σαφῶς διδάξω σ'· εἰσὶν αἱ πᾶσαι πόλεις
ὅμοιον εἰπεῖν χίλιαι. τρισμύριοι
οἰκοῦσ' ἑκάστην. καθ' ἕνα τούτων οἱ θεοὶ
ἕκαστον ἐπιτρίβουσιν ἢ σῴζουσι; Σ. πῶς;
Ο. λέγεις γὰρ ἐπίπονόν τιν' αὐτοὺς ζῆν [βίον.
Σ. οὐκ ἄρα φρον[τί]ζουσιν ἡμῶν [ο]ἱ [θ̣εοί;
Ο. φήσεις. ἑκάστῳ τὸν τρόπον συν[ῴκισαν
φρούραρχον· οὗτος ἐνδε̣[λ]εχὴ̣[ς παρὼν φύλαξ
ἐπέτριψεν, ἂν αὐτῷ κακῶς χρῇ, [Σμικρίνη,
H⁴ ἕτερον δ' ἔσωσεν. οὗτός ἐσθ' ἡμῖν θεὸς
ὅ τ' αἴτιος καὶ τοῦ καλῶς καὶ τοῦ κακῶς
πράττειν ἑκάστῳ· τοῦτον ἱλάσκου ποῶν
μηδὲν ἄτοπον μηδ' ἀμαθές, ἵνα πράττῃς καλῶς.
Σ. εἶθ' οὑμός, ἱερόσυλε, νῦν τρόπος ποεῖ
ἀμαθές τι; Ο. συντρίβει σε. Σ. τῆς παρρησίας.
Ο. ἀλλ' ἀπαγαγεῖν παρ' ἀνδρὸς αὑτοῦ θυγατέρα
ἀγαθὸν σὺ κρίνεις, Σμικρίνη; Σ. λέγει δὲ τίς
τοῦτ' ἀγαθόν; ἀλλὰ νῦν ἀναγκαῖον. Ο. θεᾷ;
τὸ κακὸν ἀναγκαῖον λογίζεθ' οὑ[τ]οσί.
τοῦτον τίς ἄλλος, οὐχ ὁ τρόπος ἀπολλύει;
καὶ νῦν μὲν ὁρμῶντ' ἐπὶ πονηρὸν πρᾶγμά σε
ταὐτόματον ἀποσέσωκε, καὶ καταλαμβάνεις
διαλλαγὰς λύσεις τ' ἐκείνων τῶν κακ̣[ῶ]ν.
αὖθις δ' ὅπως μὴ λήψομαί σε, Σμικρίνη,
προπετῆ, λέγω σοι. νῦν δὲ τῶν ἐγκλ[η]μάτων

648 τοθ' pap., corr. Wil. 658 suppl. v. Arnim 660 ΕΝΔΕ . ΕΧΙ pap., ἐνδελεχὴς παρὼν φύλαξ Robert; datur etiam ἐνδελεχῆ φυλακὴν ἔχων 661 ΧΡΙ pap. χρῆσθαι θέλῃς Robert 668 σαυτου pap.

ἀφίεσο τούτων, τὸν δὲ θυγατριδοῦν λαβὼν
ἔνδον πρόσειπε. Σ. θυγατριδοῦν, μαστιγία;
Ο. παχύδερμος ἦσθα καὶ σὺ νοῦν ἔχειν δοκῶν
οὕτως ἐτήρεις παῖδ' ἐπίγαμον. τοιγαροῦν
τέρασιν ὅμοια πεντάμηνα παιδία
ἐκτρέφομεν. Σ. οὐκ οἶδ' ὅτι λέγεις. Ο. ἡ γραῦς δέ γε
οἶδ', ὡς ἐγῷμαι· τότε γὰρ οὑμὸς δεσπότης
τοῖς Ταυροπολίοις — Σ. Σωφρόνη. Ο. ταύτην λαβὼν
χορῶν ἀποσπασθεῖσαν — αἰσθάνει γε; Σ. ναί.
Ο. νυνὶ δ' ἀναγνωρισμὸς αὐτοῖς γέγονε καὶ
ἅπαντ' ἀγαθά. Σ. τί φησιν, ἱερόσυλε γραῦ;
Σω. ἡ φύσις ἐβούλεθ', ᾗ νόμων οὐδὲν μέλει·
γυνὴ δ' ἐπ' αὐτῷ τῷδ' ἔφυ. Σ. τί; Σω. μῶρος εἶ·
τραγικὴν ἐρῶ σοι ῥῆσιν ἐξ Αὔγης ὅλην,
ἂν μή ποτ' αἴσθῃ, Σμικρίνη; Σ. σύ μοι χολὴν
κ]ινεῖς παθαινομένη· σὺ γὰρ σφόδρ' οἶσθ' ὅτι
οὕτο]ς λέγει νῦν; Σω. οἶδα. ⟨Σ. πῶς;⟩ Ο. εὖ ἴσθ' ὅτι
ἡ γραῦ]ς προτέρα συνῆκε. Σ. πάνδεινον λέγεις.
Ο. οὐ γέγ]ονε[ν] εὐτύχημα μεῖζον οὐδὲ ἕν.
Σ. εἰ τοῦ]τ' ἀληθές ἐσθ' ὃ λέγεις, τὸ παιδίον —

* * *

U¹ (R) ἐπ' αὐτὸ[ν . . . .
ὄντως [Ἀ]β[ρότονον . . . .
ἀλλ' ἐξαπατ[ῶσα . . . .
ΟΝ' ἀπέσωσε συλ[λαβοῦσά μοι τὸ παιδίον,
ἐγὼ δ[ὲ] πρὸς . . . .
σ . αν . . . .

* * *

U² (V) . . . . ἀπα]τωμένου:
. . . . νὴ τὸ]ν Δία
. . . . αὐτοῦ τῷ σφόδρα

678 αφειсο corr. ex αφεεсο pap., em. Lef. 686 γε : νη : | pap., corr. Lef. 690 εφυ : τιμωροσει : pap. 694 : ΟΙΔΑ≡ЄΥ pap., fuit ΟΙΔΑ : ЄΥ 696 suppl. Wilam. 697 suppl. Headlam, Wilam. 698 ЄΠΑΥΤΟΙ legi, apostrophum non videbam 699 'Αβρότονον Lef. 701 СΥ suppl. e. g. 703 С(Λ) . ΑΝ pap.

. . . . ως ὁμολογῶ:
. . . . εἶ]ς ἐμὲ βλέπει
. . . . οιι . . αιε . . λε .

Fragmenta nondum inserta.

1. ἐλευθέρῳ τὸ καταγελᾶσθαι ⟨γὰρ⟩ πολὺ
αἴσχιόν ἐστι, τὸ δ' ὀδυνᾶσθ' ἀνθρώπινον.
2. οὐδὲν πέπονθας δεινόν, ἂν μὴ προσποιῇ.

---

707 ΝΟCΟΜΟΛΟΓΩ : Jensen 709 ᴵᴵ\ . . ⅃ ' . ' . Є pap.
1 = fr. 176 K (Stob. flor. 89, 5) γὰρ ins. Hense αἴσχιστον Heringa
2 = fr. 179 K (Orion. Anthol. 7, 8, Stob. flor. 108, 57, Plut. de tranquill. 17, 475 C). Suspicabar haec quoque fragmenta ut cetera pleraque ex prima fabulae scaena sumpta esse.

ΠΕΡΙΚΕΙΡΟΜΕΝΗ

Ἄγνοια.

E[1] αὐτὴ] προθυμηθεῖσα θῆλυ, τὸ δ' ἕτερον
γυναικὶ] δοῦναι πλουσίαι τὴν οἰκίαν
ταύτην] κατοικούσηι, δεομένη παιδίου·
ἔλαχ̣ε] δὲ τἄ[ρρεν. οἰχ̣ο]μένων δ' ἐτῶν τινων
καὶ τ]οῦ πολέμου καὶ τῶν Κορινθιακῶν κακῶν
αὐ]ξανομένων ἡ γραῦς ἀπορουμένη σφόδρα,
τεθραμμένης τῆς παιδός, ἣν νῦν εἴδετε
ὑμεῖς, ἐραστοῦ γενομένου τε τοῦ σφοδροῦ
τούτου νεανίσκου γένει Κορινθίου
ὄντος, δίδωσι τὴν κόρην ὡς θυγατέρα
αὐτῆς ἔχειν. ἤδη δ' ἀπειρηκυῖα καὶ
προορωμένη τοῦ ζῆν καταστροφήν τινα
αὐτῆι παροῦσαν οὐκ ἔκρυψε τὴν τύχην,
λέγει δὲ πρὸς τὴν μεῖραχ', ὡς ἀνείλετο
αὐτήν, ἐν οἷς τε σπαργάνοις δίδωσ' ἅμα,
τὸν ἀγνοούμενόν τ' ἀδελφὸν τῇ φύσει

Ignorantia postquam de natura sua verba fecit, sic fere narrationem instituere potuit: Ἄρρεν τε θῆλύ θ' εὗρεν ἐν τῷ πλησίον ἄλσει γυνή τις δίδυμα κἀπέσωσ' ὁμοῦ οἴκαδε κομίζουσ' ἀμφοτέρους. ἕτερον μὲν οὖν ἔγνω φυλάξαι, πρὸς τὸ γῆρας ἐκτρέφειν αὐτὴ] προθυμηθεῖσα θῆλυ κτλ. Sententia καθ' ὑπόταξιν ita deflueret: quoniam illa filiam utpote γηροκόμον meliorem praeoptabat, altera, quae egebat infante, forte fortuna sortiebatur masculum 2 suppl. Lef. 3 suppl. Croiset | . . . . . ḷ J 4 | . . . . ᴗΔЄΤΑ .·. . . . . \ΜЄΝѠΝ J[1] | . . . . (.) ϹΔЄΤΑ . . . . . . : ·ΜЄΝѠΝ J[2] (ΜΜ vel ΙΛ) 5 suppl. Leo al. 6 | . . ξ̣ (ζ vel ξ) pap., suppl. Croiset

φράζει, προνοουμένη τι τῶν ἀνθρωπίνων,
εἴ ποτε δεηθείη βοηθείας τινός,
ὁρῶσα τοῦτον ὄντ᾿ ἀναγκαῖον μόνον
αὐτῇ φυλακήν τε λαμβάνουσα, μή ποτε
δι᾿ ἐμέ τι τὴν Ἄγνοιαν αὐτοῖς συμπέσῃ
ἀκούσιον, πλουτοῦντα καὶ μεθύοντ᾿ ἀεὶ
ὁρῶσ᾿ ἐκεῖνον, εὐπρεπῆ [δὲ] κ[αὶ] νέαν
ταύτην, βέβαιον δ᾿ οὐθὲν ὧι κ[ατ]ελε[ί]πετο.
αὕτη μὲν οὖν ἀπέθανεν, ὁ δὲ τὴν οἰκίαν
ἐπρίατο ταύτην ὁ στρατιώτης οὐ πάλαι.
ἐν γειτόνων δ᾿ οἰκοῦσα τἀδελφοῦ τὸ μὲν
πρᾶγμ᾿ οὐ μεμήνυκ᾿ οὐδ᾿ ἐκεῖνον βούλεται
εἶναι δοκοῦντα λαμπρὸν εἰς μεταλλαγὴν
ἀγαγεῖν, ὄνασθαι δ᾿ ὧν δέδωκεν ἡ Τύχη.
ἀπὸ ταὐτομάτου δ᾿ ὀφθεῖσ᾿ ὑπ᾿ αὐτοῦ θρασυτέρου,
ὥσπερ προείρηκ᾿, ὄντος ἐπιμελῶς τ᾿ ἀεὶ
φοιτῶντος ἐπὶ τὴν οἰκίαν, ἔτυχ᾿ ἑσπέρας
π[έ]μπουσά ποι θεράπαιναν. ὡς δ᾿ ἐπὶ ταῖς θύραις
α[ὐ]τὴν γενομένην εἶδεν, εὐθὺ προσδραμὼν
ἐφίλει, περιέβαλλ᾿, ἡ δὲ τῷ προειδέ[ναι
ἀδελφὸν ὄντ᾿ οὐκ ἔφυγε, προσιὼν δ᾿ [ὁ σφοδρὸς
ὁρᾷ. τὰ λοιπὰ δ᾿ αὐτὸς [εἴρηχ]᾿, ὃν τρ[όπον
ὁ μὲν ᾤχετ᾿ εἰπώ[ν], ὅτι κατὰ σχολὴν ἰδ[εῖν
αὐτὴν ⟨ἔ⟩τι βούλεθ᾿, [ἡ δ᾿]ἐδάκρυ᾿ ἑστῶσα καὶ
ὠδύρεθ᾿, ὅτι τοῦτ᾿ οὐκ ἐλευθέρως ποεῖν
ἔξεστιν αὐτῇ. πάντα δ᾿ ἐξεκάετο
ταῦθ᾿ ἕνεκα τοῦ μέλλοντος, εἰς ὀργὴν ἵνα
οὗτος ἀφίκητ᾿ — ἐγὼ γὰρ ἦγον οὐ φύσει

---

20 αυτη· pap. 24 θ᾿ουθεν pap., corr. v. Leeuwen al. 28 μεμενηκεν pap., corr. Diels, Richards al. 31 | αποτ᾿αυ pap. — ὕπατου pap. (forma vulgari) 34 π . μποισα pap. 37 respicere vid. v. 8; possis etiam σοβαρός al. 38 [CI]Ρ[H]X'CNT ι ∪ι . . | disp. Jensen, qui finem suppl. εἴρηκ᾿ (ἀρτίως) Leo 40 ἔτι sodales sem. Berol., al. v. 42—49 exhibet papyrus Heidelbergensis 219, ed. G. A. Gerhard, Act. acad. Heidelb. 1911. comm. IV 42 εξεκαιετο H 43 θ᾿ινα Cair., ινα H 44 αφικετ᾿ Cair. (n. l. H), corr. Legrand al.

τοιοῦτον ὄντα τοῦτον —, ἀρχὴν θ' ἵνα λάβῃ
μηνύσεως τὰ λοιπά, τούς θ' αὑτῶν ποτε
εὕροιεν. ὥστ' εἰ τοῦτ' ἐδυσχέρανέ τις
ἀτιμίαν τ' ἐνόμισε, μεταθέσθω πάλιν·
διὰ γὰρ θεοῦ καὶ τὸ κακὸν εἰς ἀγαθὸν ῥέπει
γινόμενον. ἔρρωσθ' εὐμενεῖς τε γενόμενοι
ἡμῖν, θεαταί, καὶ τὰ λοιπὰ σῴζετε.

Σωσίας, Δωρίς.

Σ. ὁ σοβαρὸς ἡμῖν ἀρτίως καὶ πολεμικός,
ὁ τὰς γυναῖκας οὐκ ἐῶν ἔχειν τρίχας
κλάει κατακλινείς. κατέλιπον ποούμενον
ἄριστον αὐτοῖς ἄρτι, καὶ συνηγμένοι
εἰς ταὐτόν εἰσιν οἱ συνήθεις, τοῦ φέρειν
αὐτὸν τὸ π[ρ]ᾶγμα ῥᾷον. οὐκ ἔχων δ' ὅπως
τἀνταῦθ' ἀκο[ύσ]ῃ γινόμεν' ἐκπέπομφέ με
ἱμάτιον ο[ἴσ]οντ' ἐξεπίτηδες, οὐδὲ ἓν
δεόμενος ἀλλ' ἢ περιπατεῖν με βούλεται.
Δ. ἐγὼ προ[ελ]θ[οῦσ]' ὄψομαι, κεκτημένη.
Σ. ἡ Δωρίς. οἷα γέγονεν, ὡς δ' ἐρρωμένη.
ζῶσιν τρόπον τιν', ὡς ἐμοὶ καταφαίνεται,
αὗται. πορεύσομαι δέ. Δ. κόψω τὴν θύραν·
οὐδεὶς γὰρ αὐτῶν ἐστιν ἔξω. — δυστυχής,
ἥτις στρατιώτην ἔλαβεν ἄνδρα· παράνομοι
ἅπαντες, οὐδὲν πιστόν. ὦ κεκτημένη,
ὡς ἄδικα πάσχεις. παῖδες. Σ. εὐφρανθήσεται
κλάουσαν αὐτὴν πυθόμενος νῦν· τοῦτο γὰρ
ἐβούλετ' αὐτός. Δ. παιδίον, κέλευέ μοι —

45 αρχηνδ' Cair., H δὲ propter οὗ (44) irrepsit parenthesi non perspecta 46 εαυτων Cair., αυτων H 47 ευροιεν Cair. (H n. l.) cf. Epitr. 373 et Hyperid. adv. Dem. col. X, 13 ἐδυσχέρανε (sicut coniecerat Wilam.) exh. H, ἐδυσχέραινε Cair. 51 σωσατε H 54 κατέλαβον ποιούμενον H, cf. v. 295 55 ΓΑΡΤΙ H 58 γε(ινομεν) H 58. 59 suppl. Lef. 61 ΠΡΟΣ . ΣΤ . Σ Lef., ΠΡΟ Σ ΛΘ[ΟΥΣ]' leg., emend. Jensen (ΠΡΟΣ ΛΟ . . Σ' J[1]) 68 Sosias ex mandato domum intrans (64) flentem vidit Glyceram

Δᾶος.

παῖδες. μεθύοντα μειράκια προσέρχεται
π[ά]μπολλα. ἐπαινῶ διαφόρως κεκτημένην·
εἴσω πρὸς ἡμᾶς εἰσάγει τὴν μείρακα·
τοῦτ' ἔστι μήτηρ. ὁ τ[ρ]όφιμος ζητητέος·
ἥ]κει[ν] γὰρ αὐτὸν [τὴν τα]χίστην ἐνθάδε
εὔκαιρον εἶναι φαίνεθ', ὥς ἐμοὶ δοκεῖ.

ΧΟΡΟΥ.

Μοσχίων, Δᾶος.

Μ. Δᾶε, π[ολλ]άκις μὲν ἤδη πρός μ' ἀπήγγελκας λόγο[υ]ς
ο]ὐκ ἀληθεῖς ἀλλ' ἀλαζὼν καὶ θεοῖσιν ἐχθρὸς εἶ.
εἰ δὲ καὶ [νυ]νὶ πλανᾷς με — Δ. κρέμασον εὐθύς, εἰ [πλανῶ.
Μ. ἥμερον λέγεις τι. Δ. χρῆσαι πολεμίου τοίνυν [τρόπον.
ἂ]ν δ' ἀληθὲς ᾖ κ[ατα]λάβῃς τ' ἔνδον αὐτὴν ἐν[θά]δε,
ὁ δεδιῳκ[η]κ[ὼς ἐγώ] σ[ο]ι ταῦτα [πά]ντα, Μοσχίων,
καὶ πεπεικὼς τὴ[ν] μὲν ἐλθεῖ[ν] δεῦρ' ἀναλώσας [λ]όγους
μυρίους, τὴν σ[ὴν δὲ] μητέρ' [ὑποδέχ]εσθαι καὶ ποε[ῖν
πάνθ' ἃ σο[ὶ] δοκεῖ, τίς ἔσομ[αι; Μ. τίς] βίος μάλισθ', ὅ[ρα,
Δᾶε, τῶν πάντων ἀρέσκει[; Δ. πάν]τ' ἐπιβλέψ[ω. Μ. καλῶς.
ἆρα τὸ μυλωθρεῖν κράτιστον; Δ. εἰς μυλῶν[α; Μ. προσδοκᾷ
οὑτοσ⟨ὶ⟩ φερόμενος ἥξειν. Δ. μὴ δ[οκῶ] τέχνη[ς ἐρᾶν;

---

73 ΥΜΑC pap., corr. Leo 75 ἥκειν Jensen τὴν ταχίστην Lef. 77 πολλάκις Lef. 77/78 λόγους [ο]ὐκ ἀληθεῖς leg. Jensen ἀλλ'—ἐχθρός = fr. 875 K (schol. Arist. Ran. 820) 79 εἰ πλανῶ Körte 80 | ΗΜΕΡΟΝΛΕΓΕΙC pap., ἥμερον Jensen. 'nimis mite proponis': 'ergo contrucida' τρόπον Croenert al. 81 ἂν δ' ἀ. ᾖ Schmidt καταλάβῃς—ἐνθάδε Leo 82 ΟΔΕΔΙΩΚΙΙΚC . . Γ . C[Ο]Ι pap. cf. Sam. 164 τότ' ἦν ἐγώ σοι πάντα. Νῦν δὲ τίς; — 83 ΠΕΠΕΙΚ[ΩC]ΤΗ . ΜΕΝ pap., ΩC certum est 84 suppl. Körte al. 85 απανθ' pap. τίς βίος Leo ΜΑΛΙCΘ'ΟΙ \ pap. 86 ΑΡΕCΚΕΙ· . Ι . ΙΤΕΠΙΒΛΕΨΕ pap., ut vid.; non prorsus excl. (Δ.) πάντ' ἐπιβλέψας ἐρῶ vel ἐπιβλεψώμεθα; excludi puto ἐπιβλεφθήσεται (Schmidt) 88 ΗΞΕΙΝ : ΜΗΔ . Μ . (.) CΤΕΧΝ[ΗΝ .]ΕΓ Jensen (conieceram : εἰς μυλῶνά μοι δοκεῖ οὑτοσὶ φ. ἥξειν:); ipse neque η[κει]ν neque η[ξει]ν clare cernere potui; interdum ΗΜΙΝ elucere videbatur. ΜΗΔΕΜΟΙ vestigiis fere respondere

Μ. βούλομαι δὲ προστάτην σε πραγμάτων Ἑλλη[νι]κῶ[ν
κα]ὶ διοικητ[ή]ν στρατοπέδων — **Δ.** [οὐ μ]έλε[ι ξένων ἐμοί,
ο[ἵ μ'] ἀποσφά[τ]τουσιν εὐθύς· ἥ[συ]χῆ κλέψα[ι θέλω.
Μ. ἀλλ[ὰ κλέ]ψ[ει]ς ἐκδό[τ]ης ὤν· ἐκδόσει [λήσ]ει λαβ[ὼν
ἑπτὰ [τ]ῷ [τόκ]ῳ τάλαντα. **Δ.** παντοπωλεῖν β[ού]λ[ομαι,
Μοσχίων, ἢ [τυρ]οπ[ω]λεῖν ἐ[ν ἀ]γορᾷ καθήμενο[ς·
ὀμνύω μη[δ]ὲν [μέλειν μοι πλου]σίωι καθεσ[τάναι.
κα]τ' ἐμὲ ταῦτ' ἐ[μοί τ' ἀρέσκει] μᾶλλον. **Μ.** ἄρ[τι μανθάνω·
εἶ δ' ἐκ[ε]ῖ[να μ]ὴ γένο[ι]θ', ὃ μελ[ιτόπω]λις εὔ[χεται
γραῦς. **Δ.** τὸ γαστρίζεσθ' ἀρέ[σ]κει, δέσ[ποτ'· ἀγαπήσειν ἐγὼ
φήμ', ἐφ' οἷς εἴρηκα, τούτοις. **Μ.** μᾶ[λλον ἀδύνατος τρυφᾶν
ἦσθας· ἀλλὰ τυροπώλει καὶ ταλ[α]ι[πώρει. **Δ.** καλῶς·
τ]αῦτα μὲ[ν δ]ή, φ[α]σίν, εὔχθω. δ[εῦρο δ' ἦλθεν ἣν ποθεῖς·
ο]ἰκίαν ἄνοι[γε], τρόφιμε. **Μ.** δεῖ μ[έν, ὀρθῶς γὰρ λέγεις,
ἐ[μὲ δὲ] παραμυθε[ῖ]σθ' [ἐκεί]ν[ην καὶ μάλ' ἡδέως γελᾶν

---

vid., sed cum spongia adhibita esse videatur, voci μοι diffido. Opponitur poena (φερόμενος) et opera libera. Ne hanc quidem se audire velle ait Davus 89 legit, rest. de Ricci 90 ΔΩΝ : . . ¯ΕΛΕΙ (vel ΕΔΕΙ) J, ΔΩΝ : Ο (vel Λ, Μ) . . Ε . ΕΙ legebam lectione admodum incerta 91 prima littera (O) certa est ΕΥΘΥΣΛΙ . [Ε]ΧΗ[Κ]ΛΕΨΑΣ˜ . ∖ J, ipse legi: ΕΥΘΥΣ . ΙΙ . Ε (vel Υ) ΧΗΚΛΕΨΑ . Θ . 92 . ΛΛ[ΩΙΙ] ∖∖ . [Ε]Ψ . ΣΕΚΔΟΙΗΣΕΚΔΟΣΕΙΛ[ΗΣ]ΕΙΛΑΒ[ΩΙ .] pap.; ὤν inverso ordine (vestigiis quidem tenuibus) in papyro exstare videtur. ἐκδόσει agnovit Jensen 93 βούλομαι Jensen, idem rest. v. 94 95 fort. μηθέν legendum est, Ε⊢ in schedula exstat. πλουσίωι Körte sensum contrarium efficiens 96 in. hasta litterae Κ et ΛΤΕ . ΛΕ exstat, in fine ΜΑΛΛΟΝ : ΑΡ (vel ΕΡ). Placentaria pro mellitis suis cuppediis 'liba recusans' optat ταρίχη, γάρον, τυρόν, invidens nimirum 'diversa sequentibus'; cf. Hor. ep. I 10, 10 *pane egeo iam mellitis potiore placentis* 97 ΕΙΔΕΚ . ΙΙ . . . ΗΓΕΝΟ . ΘΟΜΕΛ . . . . ⊃ΛΙΣΕΥ pap. 98, 99 fort. ἐντρυφᾶν ἐγώ (φημι τούτοις scil. τῷ τυροπωλεῖν καὶ τοῖς ὁμοίοις, cf. Arist. Eq. 853, Plut. 1120). ἐφ' οἷς εἴρηκα „auf Grund meiner Erklärung", sc. ὅτι ταῦτα κατ' ἐμέ ἐστιν 99 cf. Sam. 161 τρυφᾶν γὰρ οὐκ ἠπίστασο 100 ΚΑΙΤ∖∖ . Ι pap. fort. ταλαίπωρος γενοῦ; cf. Arist. Av. 155 101 ΜΕΝΔΗ certum vid. in papyro firmaturque Aristaen. II 1 in. ibi postquam versum Epitr. 338 expressit, statim pergit ταῦτα μὲν δή, φασίν, εὐξάσθω 102 . ΙΚΙΑΝΑΝΟ . . Ε (superior pars litterae) ΤΡΟΦΙΜΕ : ∖ΕΙΜ pap. 103 Η in ἐκείνην, quod vidit

ἐπὶ θεοῖς ἐχθρῷ πτεροφόρᾳ χιλιάρχῳ. Δ. καὶ μάλα.
M. εἰσιὼν δέ μοι σύ, Δᾶε, τῶν ὅλων κατάσκοπος
πραγμάτων γενοῦ, τί ποιεῖ, π[ο]ῦ 'στιν ἡ μήτηρ, ἐμὲ
εἰς τὸ προσδοκᾶν ἔχουσι πῶς· τὸ τοιουτὶ μέρος
οὐκ ἀκριβῶς δεῖ φρά[σαι] σοί, κομψὸς εἶ. Δ. πορεύσο[μ]αι.
M. περιπατῶν δὲ προσμ[εν]ῶ σε, ⟨Δᾶε⟩, πρόσθ[ε] τῶν θυρῶν. —
ἀλλ' ἔδειξεν μέν τι τοιοῦθ', ὡς προσῆλθον ἑ[σπ]έρας·
προσδραμόντ' οὐκ ἔφυγεν ἀλλὰ περιβαλοῦσ' ἐ[πέσχε μ]ε·
οὐκ ἀηδής, ὡς ἔοι[κε]ν, εἴμ' ἰδεῖν οὐδ' ἐντ[υχεῖν,
οἴομαι μὰ τὴν 'Αθηνᾶν, ἀλλ' ἑταίρ[αις προσφιλής.
τὴν δ' 'Αδράστειαν μάλιστα νῦν — ἀρ[έσκοι — προσκυν]ῶ. —
Δ. Μοσχίων, ἡ μὲν λέλουται καὶ κάθηται. M. φιλτάτη.
ἡ δὲ μήτηρ σου διοικεῖ περιπα[τοῦ]σ' οὐκ οἶδ' ὅτι.
εὐτρεπὲς δ' ἄριστόν ἐστ⟨ιν⟩, ἐκ δὲ τῶν ποουμένων
περιμένειν δοκοῦσί μ[οί σ]ε. M. καὶ πάλαι δὴ θρ[ύπτομαι·
εἴμ' ἀηδής. [ε]ἶπας αὐ[τ]αῖς [συμπ]αρ[ό]ντα μ' ἐνθάδε;
Δ. μὰ] Δί[α]. M. νῦν [τ]οί[ν]υν [λ]έγ' ἐλ[θ]ών. Δ. ὡς ὁρᾷς, ἀναστρέφω.
ἡ μὲν αἰσχ[υν]ε[ῖτ', ἐ]πειδὰ[ν] εἰσίωμεν, δηλαδή,
παρακαλύ[ψεταί τ', ἔθο]ς γὰρ τ[ο]ῦτ[ο]· τὴν δὲ μητέρα
εἰσιόντ' εὐθ[ὺς] φιλῆσαι δεῖ μ', ἀνακτήσασθ' ὅλως,

J[1], iam evanuit (ut multa). — In fine praeferendum fort.: νῦν προσήκει καὶ γελᾶν, sed multa dantur 104 πτεροφόρᾳ defendit Schmidt 106—8 suppl. Lef. 109 Δᾶε ins. Jensen. Post θυρῶν nihil umquam scriptum erat 111 Ε[Ι]... ΜΕ (vel CΕ) pap., supra Ϲ, infra ΧΕ. 'amplexa me detinuit'. Fuit puto ΕΠΕϹΜΕ, aliquid suprascriptum esse adnotaverat Jensen 112 ἐντυχεῖν v. Arnim al. 113 ΕΤΑΙΡ(.)Ι vel ΕΤΑΙΡ(.)Κ pap. 114 ΑΡ.....ΙΙΟ....ω (vix Ν) pap. Litterarum (π)ρο partes infimae apparent; exludi vid. ἄραρε προσκυνεῖν (Wilam.). 'Adrasteam nunc maxime — acceptum sit (τὸ προσκύνημα) — veneror'. Similis est parenthesis in deprecatione Adrasteae ἀπείη 118 Π[Α]ΑΑΙΓΑΡϹΙΙ J ἐπιμένων | εἴμ' ἀηδής (Körte) excludi vid. legere mihi videor: Π[Α]ΑΑΙΑΙΙΟΡ[Υ] (vel Ι longae apicem vel Υ) 119 ουκειμ'αηδησ. ιπαισ pap., nolui θρύπτομ', οὐκ | ε. α. 120 post μὰ Δία interpunctioni vix locus erat τοίνυν leg., rest. Jensen 121 ἐπειδὰν εἰσίωμεν leg., suppl. Jensen 122 π. τ', ἔθος γὰρ ταῦτα Körte versum sanans ex Aristaen. II 10 Τ.ΥΤΟ, ut vid., pap.

εἰς τὸ κολακεύειν τραπέσθαι ζῆν τε πρὸς ταύτην ἁπλῶς·
ὡς γὰρ οἰκείως κέχρηται τῷ παρόντι πράγματι. —
ἀλλὰ τὴν θύραν ψοφεῖ τις ἐξιών. τί τοῦτο, παῖ;
ὡς ὀκνηρῶς μοι προσέρχε[ι], Δᾶε. Δ. ναὶ μὰ τὸν Δία,
πάνυ γὰρ ἀτόπως· ὡς γὰρ ἐλθὼν εἶπα πρὸς τὴν μητέρα,
ὅτι πάρει, 'μηδὲν ἔτι τούτων' φησ[ί 'τίνος ἀ]κήκοεν;
ἢ σὺ λελάληκας πρὸς αὐτ[όν], ὅτι φοβηθεῖσ' ἐνθάδε
κα]ταπέφευγ' αὕ[τ]η, πρ[ὸς ἡμᾶς; πάνυ] γε. μὴ ὥρας σύ γε'
φή]σ' 'ἵκοι'. Μ. ἀλλ' [ἐλθὲ δεῦρο, μὴ] βά[δι]ζε, παιδίον,
ἐκ]ποδών. Δ. [τί ἔσ]τ[ιν;] Μ. ἀλλ[ὰ] πάντ' [ἀν]ήρπαστ' ἐκ μέσου.
Δ. οὐ σφό]δρ' [ἤκ]ουσεν παρόντα σ' ἡδέ[ως]. Μ. μαστιγία.
Δ. οὐ κέχρη]σαί μοι; Μ. γελοῖον. ἡ μὲν οὖν μήτηρ — Δ. τί φῄς;
Μ. εἰ φυγεῖν ἄ]κουσαν αὐ[τή]ν, ε[ἰ] — Δ. τί πρᾶγμ'; Μ. οὐχ ἕνεκ' ἐμοῦ
φησί, πῶ]ς πέπεικας ἐλθεῖν πρός μ'; Δ. ἐγὼ δ' εἴρηκά σοι,
ὅτι πέπει]κ' ἐλθεῖν ἐκείνην; μὰ τὸν Ἀπόλλω 'γὼ μὲν οὔ·
εἰ δοκῶ ψε]ῦδο[ς, τρ]όφ[ι]μέ μου, σοῦ καταψεύδεσ[θ' ἔ]τι,
δῆσον. Μ. οὐ τὴν] μ[ητέρ' αὐτὸ]ς ταῦτα συμπε[π]ε[ικ]έναι
ἀρ[τ]ίως ἔφησθα, ταύτην ἐνθάδ' ὑποδέξασθ' ἐμοῦ ΔΑ'
ἕνεκα; Δ. τοῦθ', ὁρᾷς, ἔφην, ναί· μνημονεύω. Μ. καὶ δοκεῖν
ἕνεκ' ἐμοῦ σοι τ[ο]ῦτο πράττειν; Δ. οὐκ ἔχω τουτὶ φράσαι,
ἀλλ' ἔγωγ' ἔπειθον. Μ. εἶεν· δεῦρο δὴ βάδιζε. Δ. ποῖ; ΔΑ'

---

125 ὡς οἰκείως 'tamquam suam rem agens'; cf. Kaibel ad Soph.
δεν
El. 1439 129 μηκετι pap. 130 ηκαισυ pap. 131 πάνυ γε Housman. Mimice Davus matrem facit et rogantem et respondentem. 'Ita est! ante diem obeas.' 132 φῄσ' Headlam al. — . . CʼΙΚΟΙΟΛΛΛʼ pap., fort. in priore exemplari scriptum erat ΙΚΟΙ : ΙΒΛ.ΙΖΕ pap., ut fuisse possit ΗΒΛ . ΙΖΕ 133 . Κ]ΠΟΔΩΝ . . . . Ι pap. 134 ΗΛΕ . . . ΜΛCΤΙΓΙΛ · pap. 135 . . . (.)Ε/[Ρ] . CΛΙΜΟΙ : pap., spatio etiam sufficeret : τί δὲ κ. μ.; 136 φυγεῖν Körte ΛΥΤ[Η]ΝΕ . ΤΙΠΡΛΓ ΜʼΟΥΧ pap., Ε . ΤΙ tam angusto spatio ut non nisi ι excidisse possit. Interpunctio neque ante neque post τί πρᾶγμ' exstabat 138 suppl. Körte al. 139 erat olim in papyro . . . . . . ΨΕ]ΥΔΟ[CΤΡ]ΟΦ[Ι]
?
ΜΕΜΕΠΟΛΥ ΜΕΠΟΛΥ ita correctum est in ΜΟΥCΟΥ ut paene integra legatur Π et Λ circulo (O) cincta sit. — In fine vestigia litt. ΤΙ deprendere mihi videbar. Suppleri possunt permulta; respexi versus 77 sqq. et 155 140 ΙΜ . . . . C pap.

Μ. μ[ὴ] μακράν. Δ. εἴσει· τὸ δεῖνα, Μοσχίων, ἐγὼ τότε —
μ[ικ]ρ[ὸ]ν ἔτι μεῖνον. Μ. φλυαρεῖς πρός με. Δ. μὰ τὸν Ἀσκληπιόν,
ο[ὐκ ἔγ]ωγ', ἐὰν ἀκούσῃς. τυχὸν ἴσως οὐ βούλεται —
μ[ανθ]ά[ν]εις — ἐξ [ἐ]πιδρομῆς ταῦθ', ὡς ἔτυχεν, ἀλλ' ἀξιοῖ
π[ρόφασιν] εἰδέναι σ' ἀκοῦσα[ι] τὰ παρὰ σοῦ τ[ε] νὴ Δία.
οὐ γὰρ ὡς αὐ]λ[ητρ]ὶς οὐδ' ὡς πορνίδιον τρισάθλιον
ἦλθε. Μ. νῦν δοκ]εῖς λέγειν μοι, Δᾶε, τί πάλιν. Δ. δοκί[μασον, —
οὐ γελ]οῖ[όν ἐ]στιν, οἶμαι — καταλέλοιπεν οἰκίαν· —
οὐ φλ]υαρ[ία — μ]εταστῆν' εἰ σὺ τρεῖς ἢ τέτταρας
ἡμ]έρας βο[ύ]λει, προσέξει σοί τις· ἀνεκοινοῦτό μοι
το]ῦτ'· ἀκοῦσαι γάρ σ[ε δ]εῖ νῦν. Μ. ποῦ σε δήσας κατα[λίπω,
Δᾶ]ε; περιπατεῖν [πο]εῖς με περί[πατ]ον π[ο]λύν τινα·
ἀρτίως μὲν οὐ[κ ἀλ]ηθές, [νῦ]ν δὲ λελά[λη]κας πάλιν.
Δ. οὐκ ἐᾷς φρονεῖ[ν μ' ἀ]θορύβ[ως· μεταβα]λοῦ τρόπον τινὰ
κοσμίως τ' εἴσω πάρ[ε]λθε. Μ. σ[ὺ δ' ἀποδ]ράσει; Δ. καὶ μάλα·
ἐφόδι' οὐχ ὁρᾷς μ' ἔχοντα; Μ. π[άνυ γε. πάρ]αγε, παιδί[ον.
εἰσιὼν δὲ κἄ[ν] τι τούτων συνδιορθώσαις [ἐμο]ί·
ὁμολογῶ νικᾶν σε. Δ. μικροῦ γ' Ἡράκλεις καὶ νῦ[ν δέει
αὐός εἰμ'· οὐκ [ἔ]στι γὰρ ταῦθ', ὡς τότ' ᾤμην, εὐκρι[νῆ.

---

145 suppl. Körte 146 suppl. Jensen 147 οὐκ ἔγωγ' Körte Ο[Υ] . . . ΩΓ' . ЄΑΝ pap., locus correctus est (. ЄΑΝ ex . ΑΝΓ', ut vid.) 149 Γ. pap., τε Leo 151 δοκίμασον Leo 152 οἶδ' ὁποῖον Körte, sed respicit Davus v. 135; cf. οὐ φλυαρία v. 153 153 ΟΥΙΛΥΑΡ[ΙΑ] . [Є]ΙΑϹΤΗΝ pap. Luce a dextra incidente in loco graviter contuso species vocis [Є]ΡΑϹΤΗΝ efficitur; mihi lectio probabilior vid. ЄΤΑϹΤΗΝ. Desideratur infinitivus hac ipsa notione verbi μεταστῆναι, cf. v. 155 sq. 155 τοῦτ' Lef., cetera Leo 159 suppl. Körte; idem ipse conieceram respiciens v. 155 et 160 160 finis versus correctus est. Scriptum erat: Π . Ν . . . . . ΡΑΓЄΚΑΙΜΑ[ΛΑ], quod e versu antecedente irrepsit. ΚΑΙΜΑ[ΛΑ] in ΠΑΙΔΙ[ΟΝ] mutatum est, ut Π litterae Κ ingereretur, ΔΙ litteris ΜΑ, unde fit ut vox παιδίον satis late scripta sit. Utraque lectio etiam nunc conspicua est. Spongia usus esse videtur scriba sicut v. 130. Utroque loco imago persimilis efficitur. — cf. Epitr. 244 161 Δ'ЄΙϹΙΩΝΚΑ . ΓΙ pap., cf. εἰσιὼν δέ μοι σὺ . . . κατάσκοπος γενοῦ (105) unde versum correxi. — In fine ΟΡΘΩϹΑΙϹЄ . . Ι : vel [ЄΜΟΙ]: pap., ut flagitaveram 162 post ΚΑΙΝΥΙΙ . duo Є comparere vid.; admodum incerte alterum — δέει Schmidt (Ep. 480) 163 εὐκρινῆ Wilam.

Σωσίας, Δωρίς, Θυρωρός.

Σ. πάλιν πέπομφε τὴν χλαμύδα φέροντά με
καὶ τὴν σπάθην, ἵν' ἴδω τι ποιεῖ καὶ λέγω
ἐλθών. ἀκαρὲς δέω δὲ φάσκειν καταλαβεῖν
τὸν μοιχὸν [ἔ]νδον, ἵν' ἀναπηδήσας τρέχῃ,
εἰ μή γε παντ[ά]πασιν αὐτὸν ἠλέουν,
κακοδαίμον' οὕτω δεσπότην. οὐδ' ἐνύπνι[ον·
ἰδὼν γὰρ οἶδ'. ὦ τῆς π[ικρᾶ]ς ἐπιδημίας.
Δ. ὁ ξένος ἀφῖκται· χαλεπὰ ταῦτα παντελῶς
τὰ πράγματ' ἐστί, νὴ τὸν Ἀπόλλω, ταῦτα [δή·
καὶ τὸ κεφάλαιον οὐδέπω λογίζομαι,
τὸν δεσπότην, [ἂ]ν ἐξ ἀγροῦ θᾶττον [πάλιν
ἔλθῃ, ταραχὴν οἵαν ποήσει παραφ[ανείς.
ΣΩΣ' ὑμεῖς δ' ἀφήκαθ', ἱερόσυλα θηρία,
ἀφή]κατ' ἔξω τῆς θύρας; — Δ. [ἀ]νασ[τρέ]φ[ει
ἄνθ]ρωπος ὀργιζόμ[εν]ος· [ὑπα]πο[στήσομαι.
J[4] Σ. ἡ δ' οἴχεθ' ὡς τὸν γείτον' εὐθὺς δηλαδὴ
τὸν μοιχόν, οἰμώζειν φράσασ' ἡμῖν μακρὰ
καὶ μεγάλα. Δ. μάντιν ὁ στρατιώτης [ἐπ]ρί[ατο
τοῦτον· ἐπιτυγχάνει τι. Σ. κόψω τὴν θύραν. ΣΩΣ'
Θ. ἄνθρωπε κακόδαιμον, τί βο[ύ]λει; ποῖ φέ[ρ]ει;
Σ. ἐντεῦθεν εἶ; Θ. τυχόν· ἀλλὰ τί [π]ολυπρα[γμ]ο[νεῖς;
Σ. ἀπονενόησθε, πρὸς θεῶν· [ἐλ]ευθέραν
ἔχειν γυναῖκα πρὸς β[ία]ν τοῦ κυρί[ου
τολμᾶτε κατακλείσαντες. Δ. ὡς πο[νηρὸς εἶ [Δ]Ω'

170 ΟΙΔ'Ѡ (sine interp.) pap., suppl. Croenert al. 172 ΤΑΥΤΑ pap., cf. Sam. 206; fort. ταῦτά μοι 174 suppl. Leo, fort. ποτε 175 suppl. Leo 177 ἀφήκατ' v. Leeuwen al. Verbi ἀναστρέφει, quod proposueram, Jensen haec vestigia dispexit ΝΑϹ . . [Є]Φ — Є legere non poteram in illa schedula 178 ὀργιζόμενος Schmidt al. Deinde sententia est: εἶμι δ' ἐκποδών, ὑπαποστήσομαι (Sam. 207). Doris versu 187 et 207 Sosiam retinere studet furentem 179 sub hac pagina numerum ΛΗ legit Jensen 181 ΤΗϹ[Ϲ] . ΡΙ[Λ . . pap.; quod summa pars litterae Δ initio verbi apparere dicitur, ea papyri, non scripturae particula esse vid. 183. 184 legit, suppl. Jensen 186 suppl. Leo al. 187 ѠϹΠΟ(Є) pap., in margine ante Ѡ, quod clarum est, uni tantum litterae spatium esse vid.

καὶ συκοφάντης, ὅστ[ι]ς [α]ὐ[τὴν] α[ἰτιᾷ.
Σ. πότερα νομίζετ' οὐκ ἔχειν ἡ[μᾶς χολὴν
οὐδ' ἄνδρας εἶναι; Θ. ναὶ μὰ Δία, τ[ετρω]β[όλους.
ὅταν δὲ τετραδράχμους τοιούτ[ους] λαμ[βάνῃ,
ἦ ῥᾳδίως μαχούμεθ' ὑμῖν. Σ. [Ἡράκλ]ε[ις,
πράγματος ἀσελγοῦ[ς· ὁ]μολ[ο]γεῖτε δ', εἰπέ [μοι,
ἔχειν; πάρ]ελθ' ἄν[θρω]π'. — [. .]αρίων. οἴχετ[αι.
ἐκεῖν]ος [ἔτυχε] μάρτυ[ς ὢν] λέγ[ε]ι τ' ἔχειν.
Θ. οὐ χ[ρήμασι φθαρ]έν[τας . . . .]μαί τινας
ὑμῶν [θεράπον]τας. Σ. πρὸς τίν' οἴεσθ', εἰπέ μοι,
παίζειν; [τίς] ὁ λῆρος; κατὰ κράτος τὸ δυστυχ[ὲ]ς
οἰκίδιον τ[ο]ῦτ' αὐτίκ' ἐξαιρ[ήσ]ομεν.
ὅπλιζε τὸν μοιχόν. Θ. πονηρόν, ἄθλιε·
ὥσπερ παρ' ἡμῖν οὖσαν ἐπι[μ]ένεις πάλαι.
Σ. οἱ παῖδες ⟨ἐ⟩πὶ τὰ πελτί'. οὗτ[οι] πρὶν πτύσαι
διαρπάσονται πάντα, κἂν τετρωβόλους
καλῆς. Θ. ἔπαιζον, σκατοφάγ[ο]ς γὰρ εἶ. Σ. πόλιν
οἰκοῦντες. Θ. ἀλλ' οὐκ ἔχομε[ν]. Σ. αἰ[β]οῖ, λήψομαι
σάρισ⟨σ⟩αν. Θ. ἄπαγ' ἐς κόρακας. [ἀλλ]' εἴσειμ' ἐγώ,
ἕως ἔοικας ἀπ[ονοεῖσθαι]. Δ. Σωσία.

---

188 ΚΑΙϹΥΚΟΦΑΝΤΗϹΑϹ‾Ο J (leg. ΟϹ‾[Ι]Ϲ, deinde per lacinias dispersa: . ΥΙ . (.) ΙϹ . . Ι . . . 189 χολήν Wilam. coll. Archil. frgm. 131 b 191 vix discernas utrum τετραδραχμοις an -ους exstiterit; non fuit ος vel ον. ΜΟΙϹ J. Intellego: si chiliarchus tales qualis tu es conduxerit tetradrachmos 192 suppl. Jensen, idem agn. ἀσελγοῦς 193 194 vocat puerum . . αρίωνα, quocum altercatus erat (v. 176 sqq.) quique nunc minanti clam se subduxit. Is et viderat (195) nec retinuerat Glyceram fugientem. 195 | . . . . ΙΟϹ . Ι[Υ] . . ΜΑΡΤΥ . . . ΙΛΕΓϹΙΤ' pap. — μάρτυς agn. Jensen; non excluditur [ε]ἶ[δεν] μ. ὢν 196 ΟΥΧ(Κ)ΙΙΙ . . . . 'ΕΝΙ . . [ϹΨ . .]ΜΑΙ pap.; testem offerri et repudiari certum videtur 198 suppl. Leo 200 [Ο]ΝΑΘΛΙΕ· pap. 201 ΕΠΙ . -ΝΕΙϹ pap., suppl. Jensen 202 ΟΙΤΑΠΕΛΤΙ'ΟΥΤ . (.) ΠΡΙΝ pap. Ante ΟΙ (vel ΠΙ) parvum spatium est et videtur scriba spatium parvum reliquisse. Post πελτί' spatium interpunctioni sufficiat. ἔχουσι spatium concessum littera minime una excedit. Sosias abiturus magna voce iam ad arma vocat 204 καλης ex καλεις corr. pap. 205 ἔχομεν Körte 206 excludi vid. spatio ὡς, admittitur [οὐκ], [ἀλλ']. Hoc verum est 207 ΕΩϹΕΟΙΚΑϹΑ1 . . . . [ΙϹΘΑΙ] . pap. Duo

Σ. σὺ] μὲν εἰ πρό[σει μ]οι, Δωρί, μέγα τί σοι κακὸν
δ]ώσω· σὺ τ[ού]των γέγονας α[ἰ]τιωτάτη.
Δ. οὕ]τως ὄναιο, λέγ', ὅτι πρὸς γυναῖκά ποι
δεί]σασα κατ[α]πέφευγε. Σ. πρὸς γυναῖκά ποι
δεί]σασα; Δ. καὶ γὰρ οἴχεθ' ὡς τὴν Μυρρίν[η]ν,
τὴν] γείτον', οὕτω μο[ι] γένοιθ' ἃ βούλομαι.
Σ. ὁρᾷι]ς ἵν' οἴχεθ', οὗ τὸ μέλημ' ἐστ', ἐνθά[δ]ε.
Δ. μη]δὲ[ν π]όει [ν]ῦν [ὧ]ν σὺ βούλει, Σ[ωσία.
Σ. ἄν[αγ]ε σε[αυτή]ν, ἄν[α]γ', [ἐπεὶ ψ]ευδῆ λ[έγειν

Σωσίας, Πάταικος, Πολέμων, Ἀβρότονον.

Σ. ἐκ]εῖθεν ἥκει χρήματ' εἰληφώς· ἐμοὶ
πίστευε, προδίδωσίν σε καὶ τὸ στρατ[ό]πεδον
Πα. κάθευδ' ἀπελθών, ὦ μακάριε, τὰς μά[χ]ας
τ]αύτας ἐάσας· [οὐ]χ ὑγιαίνεις. σοὶ λαλῶ,
ἧττον μεθύεις γά[ρ]. Σ. ἧττον; ὃς πέπωκ' ἴσως
κοτύλην προειδὼς πάντα ταῦθ' ὁ δυστυχὴς
τ]ηρῶν τ' ἐμαυτὸν εἰς τὸ μέλλον. Πα. εὖ λέγεις,
π]είσθητί μοι. Πο. τί δ' ἐστὶν ὃ κελεύεις ἐμοί;
Πα. ὀρθῶς ἐρωτᾷς νῦν· ἐγὼ δὴ σοί γ' ἐρῶ.
Σ. Ἀβρότονον, ἐπισήμηνον. Πα. εἴσω τουτονὶ
πρῶτον ἀπόπεμψον τούς τε παῖδας οὓς ἄγει.

---

puncta fuisse probabile est ante Σωσία, restat inferius post vestigia litt. ΛΙ inferiora. Deinde quod sequi videtur punctum superius, ea macula est papyri me iudice (caerulea est). Utique hinc procedit Doris. Cf. Sam. 80 Παρμένων! in fine versus 209 δώσω Arnim, cetera Lef. 210 suppl. Housman 212 μυρρην. ν pap. 214 videtur παρατραγῳδεῖν, cf. Soph. Oed. R. 687 ὁρᾷς ἵν' ἥκεις sim. dico propter electionem verborum 215 | . . . ΛΕ J, | . . Ν Lef., | . . ΙΜ[Ι-] mihi vid. legere, fort. μὴ μὴ Σω[σία] suppl. etiam Jensen 216 ΛΙ (ΛΠ Lef.) . . ЄCЄ . . . . ΝΛΙ . Γ' . . . : 'ЄΥΔΗΛ — ψευδῆ λέγειν Jensen; altero loco fortasse ἄπαγε, praeferas. Secuta esse vid. talia πρὸς τὸν κακοδαίμον' ἀξιοῖς με δεσπότην v. 217—277 et 338—397 exhibent membranae Lipsienses, quas primus edidit A. Körte (Ber. der K. sächs. Ges. d. Wiss. LX, 1908 p. 145 sqq.), qui singula in versibus 217—229 fere explevit 221 Sosiae verba esse demonstratur versibus 166 sqq. (cf. προειδὼς πάντα τ.)

Σ. κακῶς διοικεῖς τὸν πόλεμον· διαλύεται,
δ]έον λαβεῖν κατὰ κράτος· οὑτοσί με γὰρ
E³ ὁ Πάτ]αικος ἐξόλλυσιν. Α. οὐκ ἔσθ' ἡγεμών.
Πα. πρὸς τ]ῶν θεῶν, ἄνθρωπ', ἄπελθ'. Α. ἀπέρχομαι.
Σ. ᾤμην] σε ποιήσειν τι· καὶ γάρ, Ἀβρότονον,
ἔχεις] τι πρὸς πολιορκίαν σὺ χρήσιμον
δύνασ]αί τ' ἀναβαίνειν, περικαθῆσθαι. ποῖ στρέφει,
λαι]κάστρι'; ᾐσχύνθης; μέλει τούτων τι σοί; —
Πα. εἰ μ]έν τι τοιοῦτ' ἦν, Πολέμων, οἷόν φατε
ὑμεῖς τὸ γεγονός, καὶ γαμετὴν γυναῖκά σου —
Πο. οἷον λέγεις, Πάταικε. Πα. διαφέρει δέ τι.
Πο. ἐγὼ γαμετὴν νενόμικα ταύτην. Πα. μὴ βόα·
τίς ἐσθ' ὁ δούς; Πο. ἐμοὶ τίς; αὐτή. Πα. πάνυ καλῶς·
ἤρεσκες αὐτῇ τυχὸν ἴσως, νῦν δ' οὐκέτι·
ἀπελήλυθεν δ' οὐ κατὰ τρόπον σοῦ χρωμένου
αὐτῇ. Πο. τί φῄς; οὐ κατὰ τρόπον; τουτί με τῶν
πάντων λελύπηκας μάλιστ' εἰπών. Πα. ἐρεῖς,
τοῦτ' οἶδ' ἀκριβῶς, ὡς ὃ μὲν νυνὶ ποεῖς
ἀπόπληκτόν ἐστι. ποῖ φέρει γάρ; ἢ τίνα
ἄξων; ἑαυτῆς ἐστ' ἐκείνη κυρία·
λοιπὸν τὸ πείθειν τῷ κακῶς διακειμένῳ
ἐρῶντί τ' ἐστιν. Πο. ὁ δὲ διεφθαρκὼς ἐμοῦ
ἀπόντος αὐτὴν οὐκ ἀδικεῖ μ'; Πα. ὥστ' ἐγκαλεῖν
ἀδικεῖ σ' ἐκεῖνος, ἄν ποτ' ἔλθῃς εἰς λόγους·
εἰ δ' ἐκβιάσει, δίκην ὀφλήσεις· οὐκ ἔχει

228 suprascriptum erat, ut vid., supra διοικεῖς : γε πολεμεῖς, i. e. κακῶς γε πολεμεῖς. — διαλύεται (superaddita σ littera) a sec. manu in διαλύσεται, a tertia in διαλύσετε mutatum est. Pellucentibus alterius paginae litteris ΛΙΠ (v. 258) vel potius inverso ordine ΠΙΛ imago turbata esse videtur (CΕΤΠΟΛΕΜΕΙC Körte). Haec igitur forma versui data est: κακῶς γε πολεμεῖς· τὸν πόλεμον διαλύσετε, δέον etc. 229 | . ΕΟΝ potius quam | . ΞΟΝ exstat 230 suppl. L, ante οὐκ et in fine puncta geminata habet Cair. et Lips. — initia v. 231—236 supplet L 238 post Πάταικε C puncta exhibet, omittit L; idem omisit paragr. sub voce οἷον 242 ἀπελήλυθ' οὐ C, ΑΠΕΛΗΛΥΘΕ .... ΚΑΤ. L 245 ΩCΘ'Ο CL corr., Wilam. π[ο]εῖς L 246 ·ΠΟΥ-ΦΕΡΕΙΓΑΡ· C, ΠΟΙΦΕΡΕΙΓΑΡ L 250 ΜΕ : L 251 in [ἔ]λθῃς

τιμωρίαν γὰρ τἀδίκημ᾽, [ἔγκλη]μα δέ.
Πο. οὐδ᾽ ἄρα νῦν; Πα. οὐδ᾽ ἄρα νῦν. Πο. οὐκ οἶδ᾽ ὅτι
λέγω, μὰ τὴν Δήμητρα, πλὴν ἀπάγξομαι.
Γλυκέρα με καταλέλοιπε, καταλέλοιπέ με
Γλυκέρα, Πάταικ᾽. ἀλλ᾽ εἴπερ οὕτω σοὶ δοκεῖ
πράττειν — συνήθης ἦσθα γὰρ καὶ πολλάκις
λελάληκας αὐτῆι πρότερον — ἐλθὼν διαλέγου,
πρέσβευσον, ἱκετεύω σε. Πα. τοῦτό μοι δοκεῖ, ΠΑΤ/
ὁρᾷς, ποεῖν. Πο. δύνασαι δὲ δήπουθεν λέγειν, ΠΟΛ/
Πάταικε. Πα. μετρίως. Πο. ἀλλὰ μήν, Πάταικε, δεῖ.
αὕτη ᾽στιν ἡ σωτηρία τοῦ πράγματος.
ἐγὼ γὰρ εἴ τι πώποτ᾽ ἠδίκηχ᾽ ὅλως —
E⁴ εἰ μὴ διατελῶ πάντα φιλοτιμούμεν[ος —
τὸν κόσμον αὐτῆς εἰ θεωρήσαις — Πα. [καλῶ]ς
ἔχει. Πο. θεώρησον, Πάταικε, πρὸ[ς θεῶν,
μᾶλλόν μ᾽ ἐλεήσεις. Πα. ὦ Πόσειδο[ν. Πο. δ]εῦρ᾽ ἴθι.
ἐνδύμαθ᾽ οἷ᾽· οἷα δὲ φαίνεθ᾽, ἡνίκ᾽ ἄ[ν
λάβη τι τούτων· οὐ γὰρ ἑοράκεις ἴσω[ς.
ΠΑΤ/ ἔγωγε. Πολ. καὶ γὰρ τὸ μέγεθος δήπουθεν ἦν
ἄξιον ἰδεῖν. ἀλλὰ τί φέρω νῦν εἰς μέσον
τὸ μέγεθος; ἐμβρόντητος, ὑπὲρ ἄλλων λαλῶν.
Πα. μὰ Δί᾽, οὐδέν. Πο. οὐ γάρ; ἀλλὰ δεῖ, Πάταικε, σὲ
ἰδεῖν· βάδιζε δεῦρο. πάραγ᾽. Πα. εἰσέρχομαι. —

L m² add. iota adscr. teste P. Petersen, item v. 270 in λάβη 253 suppl. L 254 paragr. exhibet L tantum 257 Πάταικε· (punct. m²) L 260 ΔΟΚΕΙϹ | C, sed C del. lineolis duabus, L n. l. 264 ·ΗΔΙΚΗΚ᾽ L, corr. m² 265—267 suppl. L 268 ΠΌϹΙΔ C, ΠΟϹΙΔΟ . . . ΕΥΡ᾽ΪΘΙ L 269 ΑΝ | L ΕΝΔΥΜΑΤΑ in ΕΝΔΥΜΑΘ᾽ corr. m² 270 ΙϹΩϹ : L 271 ΕΓΩΓ : C 273 ΛΑΛΩ : C, ΛΑΛΩ̄ L 274 | ΜΑΤΟΝΔΙ᾽ CL; illapsa voce τὸν scriptor versum membranae immutavit γε addens, vocativum resecans; sed hic ipse vocativus precantis et instantis est, cf. 262 al. ΟΥΓ̀ΑΡΑΛΛΑΔΕΙΠΑΤΆΙΚΕϹΕ C, ΟΥΓΑΡΑΛ . . . ΕΙΓΕϹΕ L (perperam) 275 :ΠΆΡΑΓ᾽ : ΕΙϹΕΡΧΟΜΑΙ : C, ΠΑΡΑ . . . . ΕΡΧΟΜΑΙ : L

Μοσχίων.

Οὐκ εἰσφθερεῖσθε θᾶττον ὑμεῖς ἐκποδών;
λόγχας ἔχοντες ἐκπεπηδήκασί μοι;
οὐκ ἂν δύναιντ' ἂν ἐξελεῖν νεοττιὰν
χελιδόνων, οἷοι πάρεισ' οἱ βάσκανοι.
ἀλλὰ ξένους, φής, εἶχον; εἰσὶ δ' οἱ ξένοι
οἱ περιβόητοι Σωσίας εἷς οὑτοσί. —
πολλῶν γεγονότων ἀθλίων κατὰ τὸν χρόνον
τὸν νῦν — φορὰ γὰρ γέγονε τούτου νῦν καλὴ
ἐν ἅπασι τοῖς Ἕλλησι δι' ὅτι δή ποτε —
οὐδένα νομίζω τῶν τοσούτων ἄθλιον
ἄνθρωπον οὕτως ὡς ἐμαυτὸν ζῆν ἐγώ.
ὡς γὰρ τάχιστ' εἰσῆλθον, οὐδὲν ὧν ἀεὶ
εἴωθ' [ἐ]ποίου[ν], οὐδὲ πρὸς τὴν μητέρα
εἰσῆλθ[ο]ν, οὐ τῶν ἔνδον ἐκάλεσ' οὐδένα
πρὸς ἐμαυτόν, ἀλλ' εἰς οἶκον ἐλθὼν ἐκποδὼν
ἐνταῦθα κ[α]τεκ[ε]ίμην συνεστηκὼς πάνυ.
τὸν Δᾶον εἰσπέμπω δὲ δηλώσονθ', ὅτι
ἥκω, τοσοῦτον αὐτό, πρὸς τὴν μητέρα.
οὗτος μὲν οὖν μικρόν τι φροντίσας ἐμοῦ
ἄριστον αὐτοῖς καταλαβὼν παρακείμενον
ἐγέμιζεν αὐτόν. ἐν δὲ τούτῳ τῷ χρόνῳ
κατακείμενος πρὸς ἐμαυτὸν ἔλεγον· „αὐτίκα
πρόσεισιν ἡ μήτηρ ⟨ἀπ⟩αγγελοῦσά μοι
παρὰ τῆς ἐρωμένης ἐφ' οἷς ἄν φησί μοι
εἰς ταὐτὸν ἐλθεῖν· αὐτὸς ἐμελέτων λόγον —

---

276 Moschio adloquitur servos suos; nam Sosiae satellites dudum se receperunt. Est hoc genus quoddam dialogi mimica arte compositi, cuius onus una eademque persona quaerendo et respondendo sustentat. Tacent πρόσωπα δεύτερα. Hoc ne scriba quidem perspexit, qui 278 δὲ falso inseruit et 280 φήσ' pro φής (inquis) scripsit. Feliciter evenit, quod 278 duplex illud ἂν non resecuit v. 277 explic. L 278 ΤΟΔ' ΑΝΕΞΕΛΕΙΝ pap. 280 φησ' pap. 283 sq. cf. fr. 872 K 290 ΟΙΚΟΝΤΙΝ' pap.

Γλυκέρα, Πάταικος —
Δωρίς — Μοσχίων.

K²Γ. ἐλθοῦσα πρὸς τὴν μ]ητέρ᾽ αὐτοῦ, φί[λτ]ατε,
καὶ δεῦρο κα]ταφυγοῦσ᾽ ἐδυνάμην; οὐ σκοπεῖς;
ἵν]α με λ[άβῃ] γυναῖκα; κατ᾽ ἐμὲ γὰρ πάνυ
γέγ]ον᾽ οὗ[τος]. ἀλλ᾽ οὐ τοῦτ᾽, ἑταίραν δ᾽ ἵνα μ᾽ ἔχῃ;
εἶτ᾽ οὐ λαθεῖν τούτους ἂν ἔσπευδον, τάλαν,
αὐτός [τ]᾽ ἐκεῖνος, ἀλλ᾽ ἰταμῶς εἰς ταὐτό με
τῷ πατρὶ κατέστησ᾽; εἱλόμην δ᾽ οὕτως ἐγ[ὼ
ἀφρόνως ἔχειν ἔχθραν τε πρά[ττειν γειτόνων
ὑμῖν θ᾽ ὑπόνοιαν καταλιπεῖν [ἀκοσμίας,
ἣν ἐξαλείψαι[τ]᾽ οὐκέτ᾽ οὐδ᾽ — αἰσχ[ύνομαι,
Πάταικε. καὶ σὺ ταῦτα συμπεπ[εισμένος
ἦλθες τ[ο]ιαύτην θ᾽ ὑπέλαβές [με γεγονέναι;
Π. μὴ δὴ [γ]ένοιτ᾽. — ὦ Ζεῦ πολυ[τίμητ᾽, εἴθε νῦν
δείξαις ἀληθῶς ὄντ᾽, ἐγώ[γ᾽ ὅσ᾽ ὑπονοῶ. —
ἀλλ᾽ ἄπιθι μηδὲν ἧττον. Γ. [εἰς ἑτέραν τινὰ
ὑβρίζετω τὸ λοιπόν. Π. οὐχ ἑ[κούσιον

Initio talia supplenda videntur: τί δὲ μηχανᾶσθαι, τίνα δ᾽ ἔχειν ἐγὼ σκοπὸν . . . ἐδυνάμην; 301 φι[λ] . ατε legit, suppl. Jensen² 302 . ΟΥϹΚΟΠΕΙϹ · pap. 306 τ᾽ Leo 309 suppl. Körte 310 ΛΙΤ potius quam ΛΙϹ pap. οὐδ᾽ αἰσχύνομαι (sine sermonis interruptione) Leo, fort. οὐδ᾽ αἰσχύνεται, Π., sc. Polemo tam turpia suspicatus; cf. καὶ σύ v. proximo 312 suppl. Körte. ὑπ. με γενομένην scripseram respiciens Sam. 273, sed ibi quoque reponendum est γεγονέναι 313 fort. ἀλλὰ νῦν. Supplevi v. 313 sq. tamquam precante tacite Pataeco, ut illa de Glycerae origine suspicio vera eveniat. Quae orta videtur suspicio, cum vestimenta Glycerae perlustranti cistella illa oblata est ipsi bene nota (cf. Körte praef. XLI in.). Quod autem multo maiore studio coniuges reconciliare studet Polemoni opitulans, hoc ideo facere videtur civis Atticus, ut honestati consulat filiamque, si inventurus sit, ne inveniat domo exclusam iustique matrimonii spe orbatam. Itaque non amicitiae officio — neque enim tanta est familiaritas militis et senis — identidem ad preces illas redit, sed filiae suamque maxime dignitatem tutatus 315 sententiam dispexit Körte εἰς ἄλλας κόμας (nimis hoc m. i. epigrammatice) scribens. εἰ[ς] probatur, si hic schedula in tabula phot. adiecta inserenda sit. v. 316 eadem schedula exhibet ΧΕ, ut vid., ut appareat ΟΥΧΕ. In versa parte schedulae, ni fallor, ‾Ε vel ϹΘ legitur. Quod si inseras

γέγ[ο]νε τὸ δεινόν. Γ. ἀνόσι[ον δὲ νὴ Δία.
ο . . . . . . λαις θεράπαιναν . . . .

desunt v. f. 16.

K[1] Γ. ἐγ[ὼ δ' ἐκεῖνα] λαμβά[νω τὰ χρήματα
τοὐμοῦ πατρὸς καὶ μητρός, εἴ[θισμαι δ' ἔχειν
ἀεὶ παρ' ἐμαυτῇ καὶ τηρ[εῖν. Π. τ]ί οὖν
βούλει; Γ. κομίσασθαι [τ]αῦτ'. Π. [ἀπέγν]ωκας σὺ [γὰρ
κομιδῇ τὸν ἄνθρωπον; τί βούλει, φιλτάτη;
Γ. διὰ σοῦ γενέσθω τοῦτό μ[ο]ι. Π. [π]ραχθ[ή]σεται
τοῦτο ⟨τὸ⟩ γελοῖον· ἀλλ' ὑπὲρ πάντων [ἐ]χρῆν
ὁρᾶ]ν σ'. Γ. ἐγῷδα τἄμ' ἄριστ'. Π. οὕτως ἔχεις. ΠΑΤ'
τίς τῶν] θεραπαινῶν οἶδε ταῦτ' ὅπου 'στί σοι;
ἡ Δωρὶ]ς οἶδε. Π. καλεσάτω τὴν Δωρίδα
ἔξω τι]ς. ἀλλ' ὅμως, Γλυκέρα, πρὸς τῶν θεῶν,
ἐκεῖν' ἀφ]ε[ῖ]σ', ἐφ' οἷς ἐγὼ νυνὶ λέγω
σύγγνωθι, τὴν χάρ]ι[ν] δό[ς]. Δ. ὦ κεκτημένη. ΔΩΡ'
Γ. τί δ' ἔστιν; Δ. ο]ἷον τὸ κακόν. Γ. ἐξένεγκέ μοι
τὴν κοιτίδ'] ἔξω, Δωρί, τὴν τὰ ποικίλα
ἔχουσαν, οἶσθα ν]ὴ Δί', ἣν δέδωκά σοι
τηρεῖν. τί κ]λαίεις, ἀθλία; Π. πέπονθά τι ΠΑΤ'

---

versui 334, neque ἀργυρίδια neque ἱματείδια Leeuweni probantur: efficitur enim ⌒Θ . . ΗΔΙ' — ad 316 sq. cf. Eurip. fr. 265 N τὸ δ' ἀδίκημ' ἐγένετ' οὐχ ἑκούσιον (est ex Auga fr.) 318 ΛΑΙϹ potius quam ΛΑΝ J. — fort. οὐ γὰρ τόδ' ἂν θεράπαιναν ἐργάσαιτό τις. Glycera a coniuge, opinor, Myrrhinae domo eiecta — nam ingentes turbae communisque omnium desperatio hanc scaenam antecedunt — ac turpi illa concubini et Pataeci suspicione exacerbata 'ne ancillae quidem, inquit, tanta ignominia infligatur', sese liberam esse et patre libero, cuius rei praesto sibi esse testimonia crepundia illa, quae adferri iubet. 319 e. g. suppl., possis ἐγὼ δὲ τότε μὲν λ. γνωρίσματα sim. |ЄΙ J. λαμβά[νω] agn. Jensen 320 εἰώθειν Wilam. 321 suppl. Lef. 322 ἀπέγνωκας σὺ γὰρ Capps ΤΑΥΤ'/ . . . ΙѠΚΑϹϹΥ pap. „numnam omnino hominem abominata abnuis"? 323 ·τιβουλει. pap. 324 non excl. τοῦτο μὲν (γενέσθω. τοῦτο μὲν) 325 τὸ add. Richards al. 326 suppl. Ellis al. 327—329 suppl. Leo, Δωρὶς Croiset 330 |. . . ρεστ' εφοισνυνιλογοσχεγωλεγω· (vel duo puncta) J., in. magis ΡЄ(.)Ϲ' vel ΦЄ(.)Ϲ' lego 331 Ι . ΔΟΙΙ (vel ΔΟΝ) ΙѠΚЄΚΤΗΜ . ΝΗ : J. non fuit ΔΟΝ:, non excluditur ΔѠΙ: vel ΔΟϹ: 333 suppl. v. Leeuwen 334 ἔχουσαν Leo ΗΔΙ' pap. satis clare; ceterum cf. adn. ad v. 315 335 λαιεισ pap., τηρεῖν v. Leeuwen,

νὴ τὸν Δία τὸ]ν σωτῆρα [θαυμάσιον π]άνυ·
ἄελπτον οὖν] πρᾶγμ᾽ οὐδέν. — ἡ κ[οιτὶς .....

desunt versus pauci

L^3 Π. ὃν] καὶ τότ᾽ εἶδον. οὐ παρ᾽ αὐτὸν οὑτοσὶ
τ]ράγος τις ἢ βοῦς ἢ τοιουτὶ θηρ[ί]ον
ἕ]στηκεν; Γ. ἔλαφος, φίλτατ᾽, ἐστίν· οὐ τράγου
κέρα]τ᾽ ἔχει τοῦτ᾽. Π. οἶδα. καὶ τουτὶ τρίτον
πετ]εινὸς ἵππος. τῆς γυναικὸς τῆς ἐμῆς
τὰ χρή]ματ᾽ ἐστὶ ταῦτα, καὶ μάλ᾽ ἀθλίας. —
M. ἓν τῶν] ἀδυνάτων ἐστί, τουτί μοι δοκεῖ
σκοποῦν]τι, τὴν ἐμὴν τεκοῦσαν μητέρα
λάθρα προ]έσθαι θυγατέρ᾽ αὐτῇ γενομένην·
εἰ δὲ γεγένητ]αι τοῦτ᾽, ἀδελφὴ δ᾽ ἔστ᾽ ἐμὴ
αὕτη, κάκιστ᾽] ἔφθαρμ᾽ ὁ δυστυχὴς ἐγώ.
Π. τίν᾽ ἐσ]τὶν ἤδη τἀπίλοιπα τῶν ἐμῶν;
Γ. σήμαι]ν᾽ ὃ βούλει τοῦτο πυνθάνου τ᾽ ἐμοῦ.
Π. πόθεν] λαβοῦσα ταῦτα κέκτησαι; φράσον.
Γ. ἐν τ]οῖσδ᾽ ἀνῃρέθην ποτ᾽ οὖσα παιδίον.
M. ἐπ]άναγε σαυτὸν μικρόν, ὡς ῥόθ[ιον μ]έ[γα·
ἥ[κ]ω τύχης εἰς καιρὸν οἰκείας [ἐγώ.
Π. μόνη δ᾽ ἔκεισο; τοῦτο γὰρ σήμαινέ μο[ι.
Γ. οὐ δῆτ᾽, ἀδελφὸν δ᾽ ἐξέθ[ηκ]ε κἀμέ τις.
M. τουτὶ μὲν ἕν μοι τῶν [ἐ]μοὶ ζητουμένων.
Π. πῶς οὖν ἐχ[ω]ρίσ[θη]τ᾽ ἀπ᾽ ἀλλήλων δί[χα;
Γ. ἔ]χοιμ᾽ ἂν ε[ἰπεῖ]ν πάντ᾽ ἀκηκουῖά σοι,

τί κλαίεις Headlam 336 in. suppl. Croiset 337 cf. Archil. fr. 74, Soph. Ai. 648, suppl. e. g. ἡ κοιτίς Wilam. post v. 337 fortasse fr. 881 K inserendum est, quod ex anagnorismo nescio quo sumptum est. 338 pag. Lipsiensis tertia numerum exhibet ΞΒ ὃν Körte ΟΥΤΟϹЄΙ | ΟΥ 340 ΗΤΡΑΓΟϹ:| nominativus lectioni η debetur non minus quam interpunctio 341 κέρατ᾽ v. Herwerden al. τουτ : οιδα pap. 342 sq. suppl. Körte 344 ἓν Wilam. 346 προέσθαι Körte 347 ΑΙ potius quam Ν (ante τοῦτ᾽) mihi legere videbar; sententiam recuperavit Körte (ἀλλ᾽ εἰ τετύχηκε]ν) spatium excedens 348 σφθαρμ᾽ J. ἤδη κ. ἔ. Körte 350 suppl. Robert 351 sq. suppl. Körte ιλαβουσα J. 353 ἐπάναγε Wilam |.ιαν J. ε litterae caput mihi dispicere videbar 354—359 suppl. Körte

τἀμὰ δ' ⟨ἐπ⟩ερώτα, ῥητὰ γ[ὰ]ρ ταῦτ' ἐστί μοι,
ἐκεῖνα δ' αὐτῇ μὴ φράσειν ὀμώμοκα.
Μ. κ]αὶ τ[οῦ]τό μοι σύσσημον εἴρηκεν σαφές·
ὀ]μώμοκεν τῆι μ[ητρί. ποῦ] ποτ' εἰμὶ γῆς;
Π. ὁ δὴ λαβών σε [καὶ τ]ρέφων τίς ἦν ποτε;
Γ. γυνή μ' ἔθρε[ψεν, ἣ] τότ' εἶδε κειμένη⟨ν.
Η. τοῦ δὴ τ[όπο]υ τι [μν]ημόνευμά σοι λέγει;
Γ. κρή[νην] τιν' ε[ἶπε, ν]αί, τόπον ⟨θ'⟩ ὑπόσκιον.
L4 Π. τὸν αὐ[τ]όν, ὅνπερ χὠ τιθεὶς εἴρηκέ μοι.
Π. τίς δ' οὗτός ἐστιν; εἰ θέμις, κἀμοὶ φράσον.
Π. ὁ μὲν τιθεὶς παῖς, ὁ δὲ τρέφειν ὀκνῶν ἐγώ.
Γ. σὺ δ' ἐξέθηκας ὢν πατὴρ τίνος χάριν;
Π. πόλλ' ἐστὶν ἔργ' ἄπιστα, παιδίον, τύχ[ης·
ἡ μὲν τεκοῦσ' ὑμᾶς γὰρ ἐκλείπει βίον
εὐθύς, μιᾶι δ' ἔμπροσθεν ἡμέραι, τέκν[ον —
Γ. τί γίνεταί ποτ'; ὡς τρέμω τάλαιν' [ἐγώ.
Π. πένης ἐγενόμην βίον ἔχειν [εἰθισμένος.
Γ. ἐν ἡμέρᾳ; πῶς; ὦ θεοί, δεινοῦ πό[τμου.
Π. ἤ]κουσα τὴν ναῦν, ἣ παρεῖχ' ἡμῖν τροφ[ήν,
ἄγρ]ιον καλύψαι πέλαγος Αἰγαίας ἁλός.
Γ. τάλαιν' ἔγωγε τῆς τύχης. Π. ἐφόλκια
ἡγησ]άμην δὴ πτωχὸν ὄντα παιδία
τ[ρέφ]ειν ἀ[βού]λου παντελῶς ἀνδρὸς τρόπ[ον·
ἥδιστα μέντοι κτημ]άτων [π]άντων τέκ[να. —
τὸ ποῖ[ον ἔτι] λέλ[οιπ]ε; Γ. μηνυθήσεται.
ἦν καὶ δέραια καὶ β[ρ]αχύς τις ἀνάγλυφος
κόσμος προσὼν γ[νώ]ρισ[μα] τοῖς [ἐκκει]μένοις.
Π. ἐκεῖ[νον] ἀναθεώμ[εθ'. Γ. ἀλλ' οὐκ ἔ]στ' ἔτι.

362—364 suppl. Körte 365 εθρε . . . . (και) τοτ' membr. καὶ induxit Maas 366 τοῦ δὴ τ. τί μ. Körte 367 κ. τ. εἶπε καὶ Körte, ad ναί cf. v. 142: ναί, μνημονεύω 368 pag. 4 numerum exhibet ΞΓ 368 κοτιθεις (αι) membr. 370 εγω J. 371 χαριν: J. 374 μ in ἔμπροσθεν add. m² ΤΕΚΝΟ J. 375 ποτ' membr. 376 suppl. Wilam. 377 sq. suppl. Körte, idem 381 sq. 387 ἀναθεώμεθ' Wilam. CYCTI: legit Jensen. Quibus in lacuna puncta subscripsi, ea in photographia

Π. τί [φῄς; Γ. τὰ λοίφ' ἀδελφὸς ἔσχε δη]λαδή.
Μ. ἀλ]λ' ἐ[στὶν] οὗτ[ος, ὡς ἔοιχ', οὑ]μὸς πατήρ.
Π. ἔ]χοις ἂν εἰπεῖν; Γ. ἀργ[υ]ρᾶ ζώνη τις ἦν.
Π. ἦν γάρ. Γ. χορός τε παρθέ[νω]ν ἐνταῦθά τις —
οὐκοῦν συνῆκας; — δ[ιαφαν]ές τε χλ[ανί]διο[ν
χρυσῆ τε μίτρα. πάντα [καθ' ἕ]ν εἰρημένα.
Π. οὐ[κέ]τι καθέξω, [φιλ]τάτ[η, σ'. Μ. ἀμέλ]ει δ' ἐγ[ὼ ΜΟΣ'
ταύτη]ι προσέχεσθ' ἕτοι[μός εἰμ'. ἀλ]λ' [ἄ]ν[τικρυς
πάρειμι τοῦτόν γ' ἀ[νακρινῶν ἅπ]α[ντ'] ἐγώ.
Γ. ὦ θεοί, τίς ἐστιν οὗτος; Μ. ὅστ[ις]; . μοι . . .

Πολέμων, Δωρίς — Πάταικος, Γλυκέρα.

Ox. pap. 211 Π. ἵν' ἐμαυτὸν ἀποπνίξαιμι. Δ. μὴ δὴ [τοῦτό γε.
ἀλλὰ τί [π]οήσω, Δωρί; πῶς βιώ[σομαι
ὁ τρισκακοδαίμων χωρὶς ὧ[ν αὐτῆς; Δ. πάλιν
ἄπεισιν ὡς σέ. Π. πρὸς θεῶν, οἷ[ον λέγεις.
Δ. ἐὰν προθυμηθῇς ἀκ[άκ]ως [τοὐνθένδ' ἔχειν.
Π. οὐκ ἐνλίποιμ' ἂν οὐθέν· εὖ τοῦ[τ', ὦ φίλη,
ὑπέρευ λέγεις· βάδιζ'· ἐγώ σ' ἐλ[ευθέραν
αὔριον ἀφήσω, Δωρί. — ἀλλ' ὃ δε[ῖ λέγειν
ἄκουσον. εἰσελήλυθ'. οἴμοι, [φιλτάτη,
ὡς κ[α]τὰ κράτος μ' εἴληφας. ἐ[φίλησεν τότε

apparere videbantur 388 δηλαδή Körte; fort. ἔλαχε 389 | . . ΛΕ . . . . ΟΥΤ. . . . . ΜΟΣΠΑΤΗΡ legit Jensen 390 conieceram πορφυρᾶ et adhuc dubito, num ἀργυρᾶ in membrana exstet 392 Moschion se alloquitur ut v. 353 διαφανές τε χλανίδιον, quod ex Aristoph. Lys. 48 conieceram, legimus magna ex parte Jensen et ego 393 . . . . ΝΕΙ ΡΗΜΕΝΑ legit P. Petersen 394 ΕΙΑΕΓ . . . ΜΟΣ. ΜΟΣ est nomen margini adiectum 395 ΤΙΠΡΟΣΕΧΕΣΘΕΤΟΙ . . . . ΝΟ membr. (?) supplementa inde a fine v. 394 admodum incerta esse apparet. Videtur autem illis ultimis Pataeci verbis: 'non iam detinebo te' opponi: 'at ego mordicus tenere hanc conabor ideoque exploraturus rem adibo'. Nec dubium est, quae secuta sint; sciscitando enim de origine sua Moschion certior fit v. 398—448 = Oxyrh. pap. II, 211 p. 1—51; pleraque suppleverunt B. Grenfell et A. Hunt 398 suppl. Weil 399 suppl. GH 400 πάλιν v. Leeuwen 401 suppl. GH 402 suppl. Wilam. 403 suppl. Weil 404 sq. suppl. GH 405 ποεῖν Kretschmar 407 suppl. Robert

ἀδελφόν, οὐχὶ μοιχόν· ὁ δ᾽ [ἀλάστωρ ἐγὼ
καὶ ζηλότυπος ἄνθ[ρ]ωπος ἀ[γνοῶν τίς ἦν
εὐθὺς ἐπαρῴνουν. τοιγαροῦ[ν ἀπάγξομαι
ἔρχ. Δωρίς. καλῶς ποῶν. — τί ἐστι, Δωρὶ φιλ[τάτη;
Δ. ἀγαθά· πορεύσεθ᾽ ὡς σέ. Π. καταγελ[ᾷς ἐμοῦ;
Δ. μὰ τὴν Ἀφροδ[ί]την· ἀλλ᾽ ἐνεδύετ[ο στολήν,
ὁ πατὴρ ἐπεξ[ήτ]αζ᾽. ἐχρῆν σε νῦν πά[λαι
εὐαγγέλια τῶ[ν] γεγονότων — ποθ[εινὰ γάρ —
θύειν] ἐκ[εί]νης εὐτυχηκυίας [πάλιν.
Π. νὴ τὸν Δί᾽, ὀρθῶς γὰρ λέγεις· ὁ δ᾽ [ἀπ᾽ ἀγορᾶς
μάγειρος ἔνδον ἐστί· τὴν ὗν θ[υέτω.
ΔΩ΄ κανοῦν δὲ ποῦ καὶ τἄλλ᾽ ἃ δεῖ; Π. κα[νοῦν, φίλη,
ὕστερον ἐνάρξετ᾽, ἀλλὰ ταύτην σφ[αττέτω.
μᾶλλον δὲ κἀγὼ στέφανον ἀπὸ βω[μοῦ ποθεν
ἀφελὼν ἐπιθέσθαι βούλομαι. Δ. πιθα[νώτερος
πολλῷ φανεῖ γοῦν. Π. ἄγετε [νῦν τὴν μείρακα.
Δ. καὶ μὴν ἔμελλεν ἐξιέναι δ[εῦρ᾽ ὅ τε πατήρ.
Π. αὐτός; τί γὰρ πάθῃ τις; Δ. ὦ τά[λαν, δραμὼν
ἔ[φυγ]εν· [κ]ακὸν τοσο[ῦτο]ν ἦν θ[ύ]ραν [ψοφεῖν;
εἴσειμι καὐτὴ σ[υ]μπονήσουσ᾽ [οἷς με δεῖ. —
Πα. πάνυ σοῦ φιλῶ τὸ ‛[σ]υνδιαλλαχ[θήσομαι᾽.
ὅτ᾽ εὐτύχηκας, τότε δέ[χεσθ]αι τὴν δί[κην
τεκμήριον τοῦτ᾽ ἔστ[ιν Ἕλλ]ηνος τρ[όπου.
ἀλ[λ᾽ ἐκκ]αλείτω τις δ[ραμώ]ν — αὐτ[ὸν δ᾽ ὁρῶ.
[ΠΟ]ΛΕΜ ἔ[μελλον, ἀ]λλ᾽ ἔθυον [ὑ]πὲρ εὐ[πραξίας
Γλυκέραν ἀν]ευρηκ[υ]ῖαν οὓς [ἐβούλετο

---

408 ὁ δ᾽ ἀ. — ἄνθρωπος = fr. 862 K (Etym. m. 52, 35, Bekker Anecd. 374, 29) 410 ἀπηγχόμην Wilam. 411 suppl. GH 413 suppl. Kretschmar 414 suppl. GH 416 in. suppl. GH 417 suppl. Wilam. 418, 420 suppl. GH 421 sq. suppl. GH 423 πολλωφανει (ν ηϲ supra), ν et ης add. m[2] 424 δὴ χὼ πατήρ v. Leeuwen 425 ὦ τάλαν, τί δρᾷς; v. Herwerden 426 Ϲ . HϹNIΑΚΟΝΤΟϹΟ . I . HN (N supra) pap. 427 εἴ τι δεῖ GH 428 suppl. GH 429, 430 suppl. GH δέχεσθαι Dziatzko (δεδέχθαι GH) 431 δραμών Weil, Πολέμων᾽. Wilam. 432 εὐπραξίας GH 433 Γλυκέραν ὕπ]αρ GH ἐβούλετο v. Leeuwen

π[υθό]με[νο]ς. Π. ὀρθῶς γὰρ λέγεις. [νῦν δ' ὧν ἐγὼ
μ]έλλω λέγειν ἄκουε· ταύτην γν[ησίων
παίδων ἐπ' ἀρότωι σοι δίδωμι. Π. λ[αμβάνω.
Πα. καὶ προῖκα τρία τάλαντα. Π. καὶ καλῶ[ς ἔχει.
Πα. τὸ λοιπὸν ἐπιλαθοῦ στρατιώτης [γενόμενος,
προπετὲς ποιήσῃς μ[η]δὲ ἕν, [πρὸς τῶν θεῶν.
ΠΟΛΕ Ἄπολλον, ὃς καὶ νῦν ἀπ[ό]λωλα πα[ρ' ὀλίγον,
πάλιν τι πράξω προπετ[έ]ς; οὐδὲ μ[έμψομαι
Γλυκέραι· διαλλάγηθι, φιλτάτη, μό[νον.
[ΓΛΥ]ΚΕ νῦν μὲν γὰρ ἡμῖν γέγονεν ἀρχὴ [πραγμάτων
ἀγαθῶν τὸ σὸν πάροινον. Π. ὀρθῶ[ς γὰρ λέγεις.
Γ. διὰ τοῦτο συγγνώμης τετύχηκα[ς ἀρτίως.
Π. σύνθυε δή, Πάταικε. Πα. ἑτέρους ζη[τητέον
ἐστὶν γάμους μοι. τῷ γὰρ υἱῷ λαμβά[νω
τὴν τοῦ Φιλίνου θυγατέρ'. Γ. ὦ Γῆ [καὶ θεοί.

Fragmenta aliunde nota:

1. οὕτω ποθεινόν ἐστιν ὁμότροπος φίλος.

2. ὅμως δ' ἀπόδειξον ταῦτα τῇ γυναικὶ καὶ —

434 in. suppl. GH 435—437 suppl. GH 440 suppl. GH 441 μέμψομαι Wilam. 442 φιλτατηι pap. μόνον GH 443 suppl. GH 445 ἐξ ἐμοῦ GH; fort. ὠγαθέ 446 suppl. GH ετερουσ corr. ex εταιρουσ — suprascr. legitur Πολέ(μων) εἴσεισι, Πάταικ — 448 suppl. GH fr. 1 = fr. 391 K (Stob. ecl. II 33, 6) fr. 2 = fr. 392 K (Bekker Anecd. 427, 23)

ΣΑΜΙΑ

Δημέας.

G[1] οστ . . . .
ἢ μαιν . . . .
λαβὼν ἐπαγα . . . .
ὡς γὰρ τάχιστ᾽ εἰσῆλθον, ὑπερεσπουδακὼς
τὰ τοῦ γάμου πράττειν, φράσας τὸ πρᾶγμ᾽ ἁπλῶς
τοῖς ἔνδον ἐκέλευσ᾽ εὐτρεπίζειν πάνθ᾽ ἃ δεῖ,
καθαρὰ ποεῖν, πέττειν, ἐνάρχεσθαι κανοῦν.
ἐγίγνετ᾽ ἀμέλει πάνθ᾽ ἑτοίμως, τὸ δὲ τάχος
τῶν πραττομένων ταραχήν τιν᾽ αὐτοῖς ἐνεπόει,
ὅπερ εἰκός. ἐπὶ κλίνης μὲν ἔρριπτ᾽ ἐκποδὼν
τὸ παιδίον κεκραγός· οἱ δ᾽ ἐβόων ἅμα·
'ἄλευρ᾽, ὕδωρ, ἔλαιον ἀπόδος, ἄνθρακας᾽.
καὐτὸς διδοὺς τούτων τι καὶ συλλαμβάνων
εἰ[ς τὸ] ταμιεῖον ἔτυχον εἰσελθών, ὅθεν
πλείω προα[ι]ρῶν καὶ σκοπούμενός [τινα
οὐκ εὐθὺς ἐξῆλθον. καθ᾽ ὃν δ᾽ ἦν χρόνον ἐγὼ
ἐνταῦθα, κατέβαιν᾽ ἀφ᾽ ὑπερῴου τις γυνὴ
ἄνωθεν εἰς τοὔμπροσθε τοῦ ταμει⟨δ⟩ίου

---

1 ante narrationem (4 sqq.) Demeas in universum Samiam vel se ipsum insimulare videtur, quippe qui illam domo sua receperit. — ἐπ᾽ ἀγα[θῷ] Wil.; non excluditur ἐπαγαγ- ἐπαγανακτ-; litteram Θ excludit J[2] 7 ·ΚΑΝΟΥΝ· pap. 10 ευθυσεκποδω̄ pap., εὐθὺς del. Lef. 15 ‾..⟍/ pap., Γ..ι J[2] ΠϹΧΙ vel ΠΑΛΙ (velut πολύ, πάλιν) J[1] — cf. Theophr. char. 4, 9 καὶ προαιρῶν δέ τι ἐκ τοῦ ταμιείου. — non excluditur τυχὸν | οὐκ εὐθὺς ἐξῆλθον 18 ταμειδίου Hense, ταμιειδίου Croenert

οἴκημα· τυγχάνει γὰρ ἱστεών τις ὤν·
ὥσθ' ἥ τ' ἀνάβασίς ἐστι διὰ τούτου τό τε
ταμιεῖον ἡμῖν. τοῦ δὲ Μοσχίωνος ἦν
τίτθη τις αὕτη πρεσβυτέρα, γεγονυῖ' ἐμὴ
θεράπαιν', ἐλευθέρα δὲ νῦν. ἰδοῦσα δὲ
τὸ παιδίον κεκραγός, ἠμελημένον
ἐμέ τ' οὐδὲν εἰδυῖ' ἔνδον ὄντ', ἐν ἀσφαλεῖ
εἶναι νομίσασα τοῦ λαλεῖν προσέρχεται
καὶ ταῦτα δὴ τὰ κοινά 'φίλτατον τέκνον'
εἰποῦσα καὶ 'μέγ' ἀγαθόν· ἡ μάμμη δὲ ποῦ;'
ἐφίλησε, περιήνεγκεν. ὡς δ' ἐπαύσατο
κλᾶον, πρὸς αὑτήν φησ[ι]ν· 'ὦ τάλαιν' ἐγώ,
πρώην τοιοῦτον ὄντα Μοσχίων' ἐγ[ὼ
αὐτὸν ἐτιθηνούμην ἀγαπῶσα· νῦν δ' [ἐπεὶ
παιδίον ἐκείνου γέγον[ε]ν [ἤδ]η καὶ τοδ.
. . . .
. . . .
G² . . . . α καὶ
. . . . νεναι'.
. . . . ικε καὶ θεραπαινιδίῳ τινὶ
ἔξωθεν εἰστρέχοντι· 'λούσατ', ὦ τάλαν,
τὸ παιδίον', φησίν 'τί τοῦτ'; ἐν τοῖς γάμοις
τοῖς τοῦ πατρὸς τὸν μικρὸν οὐ θεραπεύετε;'
εὐθὺς δ' ἐκείνη· 'δύσμορ', ἡλίκον λαλεῖς;'
φήσ' 'ἔνδον ἐστὶν αὐτός'. 'οὐ δήπου γε. ποῦ;'
'ἐν τῷ ταμιείῳ', καὶ παρεξήλλαξέ τι·
'αὐτὴ καλεῖ, τίτθη, σε'· καὶ 'βάδιζε καὶ
σπεῦδ'. οὐκ ἀκήκο' οὐδέν· εὐτυχέστατα'.
εἰποῦσ' ἐκείνη δ' '[ὦ] τάλαινα τῆς ἐμῆς

19 ΟΙΚΗΜΑ· „der Punkt ist sicher" J[1] 32 suppl. Lef. 33 ΓΕΓΟΝ . Λ . (.) ΛΗΚΑΙΤΟΔ . pap. ἄλλη v. Herwerden al. — καὶ τόδε sc. φυλακτέον μοι. — ἤδη spatio melius convenire vid., cf. Epitr. 317 παιδίον ἤδη γεγονός σοι — ΓΕΓΟΝ . ΛC . ΛΗ J[2] — Duo fere versus initio pag. G² desunt 36 | . . . . Ρ (Φ, Ψ, Τ) . . . . ΙΚ[Ε]ΚΑΙ J[2], non excl. ΙΝ . ΙΚΑΙ 43 sqq. atramentum per rimam discessit: hinc vocum τίτθη σε et ὦ (45) turbatae sunt imagines

λαλιᾶς᾽ ἀπῆλθεν ἐκποδὼν οὐκ οἶδ᾽ [ὅπο]ι.
κἀγὼ προῆλθον τοῦτον ὅνπερ ἐνθάδε
τρόπον ἀρτίως ἐξῆλθον, ἡσυχῇ πάνυ,
ὡς οὔτ᾽ ἀκούσας οὐδὲν οὔτ᾽ ᾐσθημένος.
αὐτὴν δ᾽ ἔχουσαν αὐτὸ τὴν Σαμίαν ὁρῶ
ἔξω διδοῦσαν τιτθίον παριὼν ἅμα·
ὥσθ᾽ ὅτι μὲν αὐτῆς ἐστι τοῦτο γνώριμον
εἶναι, πατρὸς δ᾽ ὅτου ποτ᾽ ἐστίν, εἴτ᾽ ἐμο[ῦ,
εἴτ᾽ — οὐ λέγω δ᾽, ἄνδρες, πρὸς ὑμᾶς τοῦτ᾽ ἐγώ,
οὐθ᾽ ὑπονοῶ, τὸ πρᾶγμα δ᾽ εἰς μέσον φέρω
ἅ τ᾽ ἀκήκο᾽ αὐτός, οὐκ ἀγανακτῶν οὐδέπω.
σύνοιδα γὰρ τῷ μειρακίῳ, νὴ τοὺς θεούς,
καὶ κοσμίῳ τὸν πρότερον ὄντι χρόνον ἀεὶ
καὶ περὶ ἔμ᾽ ὡς ἔνεστιν εὐσεβεστάτῳ.
πάλιν δ᾽ ἐπειδὰν τὴν λέγουσαν καταμάθω
τίτθην ἐκείν[ο]υ πρῶτον οὖσαν, εἶτ᾽ ἐμοῦ
λάθρᾳ λέγου[σ]αν, εἶτ᾽ ἀποβλέψω πάλιν
εἰς τὴν ἀγαπῶσαν αὐτὸ καὶ βεβιασμένην
ἐ]μοῦ τρέφε[ι]ν ἄκοντος, ἐξέστηχ᾽ ὅλως. —
I[3] ἀλλ᾽ εἰς καλὸν γὰρ τουτον(ὶ) π[αρ]όνθ᾽ ὁρῶ
τὸν Παρμένοντ᾽ [ἐ]κ τῆς [ἀγορᾶς· ἐα]τέον
αὐτὸν παραγαγεῖν ἐστι τού[τους ἐκποδών.

Παρμένων, Μάγειρος, Δημέας.

Π. μάγειρ᾽, ἐγὼ [μ]ὰ το[ὺ]ς θ[εοὺς] οὐκ οἶδα σὺ
ἐφ᾽ ὅτι μαχαίρας περιφ[έρεις]· ἱκανὸς γὰρ εἶ
λαλῶν κατακόψαι πάντα. Μ. π[ροσπαίζεις ἐμο]ί,

46 suppl. Lef. 47 ΚΩΓΩ pap. 52 εστιτουτοαυτησ pap. 53 ἐμοῦ ita mutilatum est, ut species vocis ЄΜΟΙ evadat 55 ουθ᾽ = ὃ ἔτι interpretatus est Wilam. 65 ΤΟΥΤΟΝΠ . Ι϶(ΠΑΡ)Ο . ΙΘ᾽ΟΡΩ suppl. van Leeuwen; idem illius immemores et Jensen et ipse coram papyro legendum necessario esse vidimus 66 ἀγορᾶς Legrand al., ἐατέον v. Leeuwen al. 67 non excludi censeo τούτους οὓς ἄγει (cf. Per. 227), sed illud iam praefero 68 suppl. Wilam. 69 suppl. Lef. 70 Π[ΡΟϹΠ . . . .]ΙϹ[ЄΜΟ]Ι pap.; litterarum ΡΟϹΠ minutissima vestigia, litt. εμ confinia interiora apparent ita, ut species litterae Θ efficiatur;

ἰδιῶτ'. Π. ἐγώ; Μ. δοκεῖς γέ μ[οι νὴ] τοὺς [θ]εούς.
εἰ π[υ]νθάνομαι πόσας [τραπέ]ζας μέλλετ[ε
πο[ε]ῖν, πόσαι [γυ]ναῖκές ε[ἰ]σι, πηνίκα
ἔσται τὸ δεῖπνον, εἰ δεήσει προσλαβεῖν
τραπεζοποιόν, εἰ κέραμός ἐστ' ἔνδοθεν
ὑμῖν ἱ[κ]ανός, εἰ τοὐπτάνιον κατάστεγον,
εἰ τἄλλ' ὑπάρχει πάντα — Π. κατακόπτεις γέ με,
εἰ λανθάνει σε, φ[ί]λτατ', εἰς περικόμματα,
οὐχ ὡς ἔτυχεν. Μ. οἴμωζε. Π. καὶ σύ· τοῦτό γε
πα[ν]τὸς ἕνεκ'. ἀλλὰ παράγετ' εἴσω. — Δ. Παρμένων.
Π. ἐμέ τις καλεῖ; Δ. ⟨σέ⟩, ναιχί. Π. χαῖρε, δέσποτα.
Δ. τὴν [σπυρίδα κ]αταθεὶς ἧκε δεῦρ'. Π. ἀγαθῇ τύχῃ.
Δ. τοῦτ[ον μὲν οὐ]δέν, ὡς ἐγᾦμαι, λανθάνει·
τ[άχ' οἶδε] γὰ[ρ π]ραττόμενον ἔργον· ἐστὶ γὰρ
περίεργος, εἴ τις ἄλλος. — ἀλλὰ [τὴν] θύραν
προϊὼν πέπληχε. δίδοτε, Χρυσί, πάνθ' ὅσ' ἂν
ὁ μάγειρος αἰτῇ· τὴν δὲ γραῦν φυλάττετε
ἀπὸ τῶν κεραμίων, πρὸς θεῶν. Π. τί δεῖ ποεῖν,
δέσποτα; Δ. τί δεῖ ποεῖν σέ; δεῦρ' ἀπὸ τῆς [θύ]ρας·
ἔτι μικρόν. Π. ἤν. Δ. ἄκουε δή νυν, Παρ[μένων·
ἐγώ σε μαστιγοῦν, μὰ τοὺς δώδεκα θ[εούς,
οὐ βούλομαι διὰ πολλά. Π. μαστιγοῦν; [τί γὰρ
πεπόηκα; Δ. συγκρύπτεις τι πρός μ', ᾔ[σθημ'] ἐγώ.
Π. μὰ τὸν Διόνυσον, μὰ τὸν Ἀπ[ό]λλ[ω, μὰ τὸν Ἄρη,

---

loco quarto vel quinto confinia litterarum CΠ deprehenduntur; reliquias accuratissime delineaverat J² — cf. Epitr. 182, Sam. 100 71 suppl. Croenert, Headlam; post θεούς punctum 72 suppl. Lef. Ζ litt. summa et infima pars apparet 79 Parmeno et reddit colaphum et superaddit alterum 81 σὲ ins. Wil. 82 suppl. Leo, Mazon 83 suppl. Headlam al. ΛΑΝΘΑΝΕΙ: pap. 84 ΤΑ....CΓΑ.. pap., non fuit πᾶ[ν] 86 ΠΕΠΛΗΧΕ : ΔΙΔΟΤΕ pap. 88 deest interpunctio 89 post θύρας superiores partes litterarum Jensen dispexit, cui prior littera Ε fuisse videbatur, ipse legebam CΕ, quod post ποεῖν omissum et in margine adiectum erat (cf. Her. 61). Ergo comprobari vid. quod in lacuna illa inseruerat Wilam. 90—92 suppl. Lef., idem 95 93 suppl. Wil. ἐγώ initio versus 94 scriptum exstat, fortasse servo dandum (ἐγώ;)

μὰ τὸν Δία τὸν σωτῆρα, μὰ τὸν Ἀ[σκληπιόν —
Δ. παῦ, μηδὲν ὄμνυ᾽. οὐ γὰρ εἰκάζ[ε]ις ἴ[σως.
Π. ἢ μήποτ᾽ ἄρ᾽ — Δ. οὗτος, βλέπε δεῦρ᾽. Π. ἰδο[ύ. Δ. φράσον,
I[4] τὸ παιδίον τίνος ἐστίν. Π. ἦν· τὸ παιδίον —
Δ. τίνος ἔ[στ᾽ ἐρωτ]ῶ. Π. Χρυ[σί]δ[ο]ς· Δ. πατρὸς δὲ τοῦ;
Π. σο[ῦ φασιν. Δ. ἀπό]λωλας· φενακίζεις μ᾽. Π. ἐγώ;
Δ. οἶδα γὰρ ἀκριβ[ῶς πάν]τα, καὶ π[άλαι μαθών,
ὅτι Μοσχίωνός [ἐστιν], ὅτι σύνοισθα σύ·
ὃ γὰρ τ]εκ[εῖν οὔ φ]ησι, νῦν αὕτη τρέφει.
Π. τίς φη[σίν; Δ. εἶ]δ[ον. ἀ]λλ᾽ ἀπόκριναι τοῦτό μοι.
τί γάρ] ἐστιν — Π. ε[ἰ γένοιτ]ο τἄλλα λανθάνειν.
Δ. τί λανθάνειν; ἱμάντα, παῖδε[ς], τὶς δότω
ἐπὶ τουτονί μοι τὸν ἀσεβῆ. Π. μή, πρὸς θεῶν.
Δ. στίξω σε, νὴ τὸν Ἥλιον. Π. στίξεις ἐμέ;
Δ. ἤδη γ᾽. Π. ἀπόλωλα. Δ. ποῖ σύ; ποῖ, μασ[τ]ιγ[ί]α;
λάβ᾽ αὐτόν. ὦ πόλισμα Κεκροπίας χθονός,
ὦ ταναὸς αἰθήρ. ὦ, τί, Δημέα, βοᾷς;
τί βοᾷς, ἀνόητε; κάτεχε σαυτόν· καρτέρει·
οὐδὲν γὰρ ἀδικεῖ Μοσχίων σε· παράβολος
ὁ λόγος ἴσως ἔστ᾽, ἄνδρες, ἀλλ᾽ ἀληθινός·
εἰ μὲν γὰρ ἢ βουλόμενος ἢ [δουλούμε]νος
ἔρωτι τοῦτ᾽ ἔπραξεν ἢ μισῶ[ν ἐμέ,
ἦν [ἂ]ν ἐπὶ τῆς αὐτῆς διανο[ίας ἧς τ]ότ[ε
ἐμοί τε παρατ[ε]ταγμένος· νυνὶ δέ μοι

---

96 ЄΙΚΑΖ . ΙCΙ J., ego ultima discernere non potui. καλῶς Leo possis εἰκάζοις ἂν εὖ, εἰκάζεις ἃ δεῖ, εἰκάζοις τόδ᾽ ἄν 97 ΪΔΟΥ agnovit J., ἰδού, λέγε scribens 98 ΞΗΝ . ΤΟΠΑΙΔΙΟΝ pap. 99 ἐρωτῶ Jensen 100 CO pap., CO[Ν]· J.; post CO nunc in pap. tria puncta cerno, quorum prima duo non minus bene cum Υ quam cum Ν coniungi possunt, tertium cum summa littera Φ (Ψ), vix cum Δ. σόν, δέσποτ᾽ Jensen 101 οἶδα γὰρ agn. Jensen ΓΑΙ . ΑΙΠC . . . . .᾽. Ν | in fine incerta vestigia apparent (ΘΩΝ vel ΝΟΝ) 102 suppl. Lef. 103 C‾. ϽΙЄΚ . . . . . ΗCΙ (ΥCΙ J.) pap. 104 τίς φησίν Jensen 105 | ‾ΙϽΑ(.) ЄCΤΙΝ : Є · pap. Ο ante τἄλλα certum 110 χρονοσ pap. 111 βοᾶις „in rasura" J[2] 115 κατεχόμενος Leo 116 suppl. Lef. 117 ΔΙΑΝΟ . . . . CΙΟΤ pap. non excludi vid. εἰκότως 118 agn. Jensen

ἀπολελόγηται τὸν φανέντα αὐτῷ γάμον
ἄσμενος ἀκούσας. οὐκ ἐρῶν γάρ, ὡς ἐγὼ
τότ' ᾠόμην, ἔσ[π]ευδεν ἀλλὰ τὴν ἐμὴν
Ἑλένην φυγεῖν βουλόμενος ἔνδοθέν ποτε·
αὕτ[η γάρ] ἐστιν αἰτία τοῦ γεγονότος.
κατέλα]βεν αὐτόν που μεθύοντα δηλαδή,
οὐκ ὄν]τ' ἐν ἑαυτοῦ· πολλὰ δ' ⟨ἐξ⟩εργάζεται
τοιαῦτ]' ἄκρατος καὶ νεότης, ὅταν λάβῃ
μηδὲ]ν ἐπιβουλεύσαντά πω τοῖς πλησίον.
οὐδενὶ τρό]πῳ γὰρ πιθανὸν εἶναί μοι δοκεῖ
τὸν εἰς ἅπ]αντας κόσμιον καὶ σώφρονα
τοὺς ἀλ]λοτρίους εἰς ἐμὲ τοιοῦτον γεγονέναι,
οὐδ' ε]ἰ δεκάκις ποητός ἐστι, μὴ γόνῳ
F[1] ἐμὸς υἱός· οὐ γὰρ τοῦτο, τὸν τρόπον δ' ὁρῶ.
χαμαιτύπη δ' ἄνθρωπος, ὄλεθρος — ἀλλὰ τί;
οὐ γὰρ περίεσται. Δημέα, νῦν ἄνδρα χρὴ
εἶναί σ'· ἐπιλαθοῦ τοῦ πόθου, πέπαυσ' ἐρῶν,
καὶ τἀτύχη⟨μα⟩ μὲν τὸ γεγονὸς κρύφθ' ὅσον
ἔνεστι διὰ τὸν υἱόν. ἐκ τῆς δ' οἰκίας
ἐπὶ τὴν κεφαλὴν εἰς κόρακας ὦσον τὴν καλὴν
Σαμίαν. ἔχεις δὲ πρόφασιν, ὅτι τὸ παιδίον
ἀνεῖλετ'· ἐμφ[α]νίσῃς γὰρ ἄλλο μηδὲ ἕν,
δακὼν δ' ἀνάσχου· καρτέρησον εὐγενῶς.

Μάγειρος.

Μ. ἀλλ' ἆρα πρόσθεν τῶν θυρῶν ἐστ' ἐνθάδε;
παῖ· Παρμένων. ἄνθρωπος ἀποδέδρακέ με
ἀλλ' οὐδὲ μικρὸν συλλαβών. **Δ.** ἐκ τοῦ μέσου
ἄναγε σεαυτόν. **Μ.** Ἡράκλεις, τί τοῦτο; παῖ.

---

119 φανενταδ'αυτω pap. 124. 5 in. suppl. Leo al. 125 ἐξεργάζεται Headlam, Richards al. 126 suppl. Headlam, ἄπιστ' (Eitrem) spatio minus convenit 127 | . . . . Ν pap. τοι pap., πω Wilam. 128 | . . . . . . ⁻'. ΠΩΓΑΡ pap.; vestigia minuta, quae οὐδέπω excludunt, detexit J. 129 sq. suppl. Croiset 131 suppl. v. Leeuwen, Leo — voci γόνῳ aliquid suprascriptum esse dispexit Jensen, puto τ[ῇ φύσει], sed vestigia sunt admodum tenuia 136 τατυμημεν pap.

μαινόμενος εἰσδεδράμηκεν εἴσω τις γέρων,
ἢ τί τὸ κακόν ποτ᾽ ἐστί; τί δέ μοι τοῦτο; παῖ.
νὴ τὸν Ποσειδῶ, μαίνεθ᾽, ὡς ἐμοὶ δοκεῖ·
κέκραγε γοῦν παμμέγεθες. ἀστεῖον πάνυ,
εἰ τὰς λοπάδας ἐν τῷ μέσῳ μοι κειμένας
ὄστρακα ποιήσαι πάνθ᾽ ὅμοια. τὴν θύραν
πέπληγεν. ἐξώλης ἀπόλοιο, Παρμένων,
κομίσας με δεῦρο. μικρὸν ὑπαποστήσομαι.

Δημέας, Χρυσίς, Μάγειρος.

Δ. οὔκουν ἀκούεις; ἄπιθι. Χ. ποῖ γῆς, ὦ τάλαν;
Δ. ἐς κόρακας, ἤδη. Χ. δύσμορος. Δ. ναί, δύσμορος·
ἐλεεινὸν ἀμέλει τὸ δάκρυον: παύσω σ᾽ ἐγώ,
ὡς οἴομαι — Χ. τί ποιοῦσαν; Δ. οὐδέν. ἀλλ᾽ ἔχεις
τὸ παιδίον, τὴν γραῦν· ἀποφθείρου ταχύ.
Χ. ὅτι τοῦτ᾽ ἀνειλόμην, διὰ τοῦτο καὶ — Δ. τί ʽκαί᾽;
διὰ τοῦτο· τοιοῦτ᾽ ἦν τὸ κακόν. Χ. ⟨οὐ⟩ μανθάνω.
Δ. τρυφᾶν γὰρ οὐκ ἠπίστασ᾽. Χ. οὐκ ἠπιστάμην —;
τί δ᾽ ἔσθ᾽ ὃ λέγεις; Δ. καίτοι πρὸς ἔμ᾽ ἦλθες ἐνθάδε
ἐν σινδονίτῃ, Χρυσί, μανθάνεις, πάνυ
λιτῷ. Χ. τί οὖν; Δ. τότ᾽ ἦν ἐγώ σοι πάνθ᾽, ὅτε
φαύλως ἔπραττες. Χ. νῦν δὲ τίς; Δ. μή μοι λάλει.
ἔχε]ις τὰ σαυτῆς πάντα· προστίθημί σοι,
ὅθεν θ]εράπαινα, Χρυσί. — ἐκ τῆς οἰκίας
F² ἄπιθι. Μ. τὸ πρᾶγμ᾽ ὀργή τίς ἐστι· προσιτέον.
Χ. βέλτισθ᾽, ὅρα — Δ. τί μοι διαλέγει; Χ. μὴ δάκῃς.
Δ. ἑτέρα γὰρ ἀγαπήσει τὰ παρ᾽ ἐμοί, Χρυσί, νῦν
καὶ τοῖς θεοῖς θύσει. Χ. τί ἐστιν; Δ. ἀλλὰ σὺ
υἱὸν πεπόηκας· πάντ᾽ ἔχεις. Χ. οὔπω δάκνει·

---

148 ποσιδω pap. 150 μου pap., μοι proposueram in ed. priore 151 ποιήσαι παντ᾽ pap. 159 και : τικαι : pap., dist. Eitrem. 160 διατουτο· pap., cetera sine interpunctione οὐ add. Ellis al. 167 fort. ἐξ ὧν vel ἀφ᾽ οὗ — εραπαιναϲ pap.; supra ϲ in parvulo papyri detrimento punctum (non littera) excidere potuit. — Χρυσί⟨ς⟩ P. Maas, sed cf. Per. 405, τί ἐστι sim. 168 προσιτεον: coquum induxit Radermacher 169 post δάκῃς deest interpunctio

ὅμως — Δ. κατάξω τὴν κεφαλήν, ἄνθρωπέ, σου,
ἄν μοι διαλέγῃ. Χ. καὶ δικαίως. ἀλλ' ἰδοῦ,
εἰσέρχομ' ἤδη. Δ. τὸ μέγα [πρᾶ]γμ' ἐν τῇ πόλει
ὄψει σεαυτὴν νῦν ἀκριβῶς ἥτις εἶ.
αἱ κατὰ σέ, Χρυσί, πρ[α]ττόμεναι δραχμὰς δέκα
μόνας ἑταῖραι † τρέχουσιν ἐπὶ τὰ δεῖπνα καὶ
πίνουσ' ἄκρατον, ἄχρις ἂν ἀποθάνωσιν ἢ
πεινῶσιν, ἂν μὴ τοῦθ' ἑτοίμως καὶ ταχὺ
ποῶσιν. εἴσει δ' οὐδενὸς τοῦτ', οἶδ' ὅτι,
ἧττον σύ, καὶ γνώσει τίς οὖσ' ἡμάρτανες.
ἕσταθι. Χ. τάλαιν' ἔγω⟨γε⟩ τῆς ἐμῆς τύχης.

Χρυσίς, Νικήρατος, Μάγειρος.

Ν. τουτὶ τὸ πρόβατον τοῖς θεοῖς μὲν τὰ νόμιμα
ἅπαντα ποιήσει θυθὲν καὶ ταῖς θεαῖς·
αἷμα γὰρ ἔχει, χολὴν ἱκανήν, ὀστᾶ καλά,
σπλῆνα μέγαν, ὧν χρεία 'στι τοῖς Ὀλυμπίοις.
πέμψω δὲ γεύσασθαι κατακόψας τοῖς φίλοις
τὸ κῴδιον· λοιπὸν γάρ ἐστι τοῦτό μοι. —
ἀλλ', Ἡράκλεις, τί τοῦτο; πρόσθε τῶν θυρῶν
ἕστηκε Χρυσὶς ἥδε κλαίουσ', οὐ μὲν οὖν
ἄλλη. τί ποτε τὸ γεγονός; Χ. ἐκβέβληκέ με
ὁ φίλος ὁ χρηστός σου. τί γὰρ ἄλλ'; Ν. ὦ Ἡράκλεις,
τίς; Δημέας; Χ. ναί. Ν. διὰ τί; Χ. διὰ τὸ παιδίον.
Ν. ἤκουσα καὐτὸς τῶν γυναικῶν, ὅτι τρέφεις

175 εἰσέρχομ' ἤδη intellego 'in aedes'; inde iam collecto illo apparatu muliebri admodum tenui in urbem discedet. — 178 post ἑταῖραι duo hemistichia excidisse videntur huius fere sententiae:

αἱ κατὰ σέ, Χρυσί, πραττόμεναι δραχμὰς δέκα
μόνας ἑταῖραι ⟨τῶν ἐραστῶν μετ' ὀλίγον
σκεδαννυμένων⟩ τρέχουσιν ἐπὶ τὰ δεῖπνα καὶ —

decem drachmae victui quidem abunde sufficiunt cotidiano, non suppetunt fere in vita illa dissoluta ad parandum viaticum aetati maturae; *celeriter* enim flos iuventutis evanescit. Talem autem sententiam desidero, ut μόνας (cf. Dem. 51, 11) bonum sensum accipiat 179 ·η· και pap., cf. Peric. 130 192 τιποτ' εστιτογεγονοσ pap.

ἀνελομένη παιδάριον· ἐμβροντησία.
ἀλλ' ἔστ' ἐκεῖνος ἡδύς. Χ. οὐκ ὠργίζετο
εὐθύς, διαλιπὼν δ', ἀρτίως· ὃς καὶ φράσας
εἰς τοὺς γάμους μοι τἄνδον εὐτρεπῆ π[ο]ε[ῖν,
μεταξύ μ' ὥσπερ ἐμμανὴς ἐπεισπεσ[ὼν
ἔξωθεν ἐκκέκλεικε. Ν. Δημέας; χ[ολᾷ.

desunt v. f. 140.

Δημέας, Νικήρατος, — Χρυσίς.

F³ (Δ.) ἀλλὰ πάλιν ἐλθών. Ν. τ[ὸ] δεῖνα μικρόν, ὦ τᾶν; οἴχο[μαι,
πάντα τέλος ἔχει, τὰ πράγματ' ἀνατέτρ[α]πται. Δ. νὴ Δία,
οὑτοσὶ τὸ πρᾶγμ' ἀκούσας χαλεπανεῖ, κεκράξεται·
τραχὺς ἄνθρωπος, σκατοφάγος, αὐθέκαστος τῷ τρόπῳ.
ἐμὲ γὰρ ὑπονοεῖν τοιαῦτα τὸν μιαρὸν ἐχρῆν, ἐμέ·
νὴ τὸν Ἥφαιστον, δικαίως ἀποθάνοιμ' ἄν. Ἡράκλεις,
ἡλίκον κέκ[ραγε]· τοῦτ' ἦν. πῦρ βοᾷ· τὸ παιδίον
φησὶ[ν] ἐμπρήσειν· [τί π]εί[σομ']; ὑϊδοῦν ὀπτώμενον
ὄψο[μαι]. π[άλιν π]έπληχε τὴν θύραν· στρόβιλος ⟨ἢ
σκη[πτός, ⟨οὐκ⟩ ἄ]νθρωπός ἐστι. Ν. Δημέα, συνίσταται
ἐπ' ἐμὲ καὶ πάνδεινα ποιεῖ πράγμαθ' ἡ Χρυσίς. Δ. τί φής;
Ν. τὴν γυναῖκά μου πέπεικε μηδὲν ὁμολογεῖν ὅλως
μηδὲ τὴν κόρην. ἔχει δὲ πρὸς βίαν τὸ παιδίον
οὐ προήσεσθαί τέ φησιν, ὥστε μὴ θαύμαζ', ἐὰν
αὐτόχειρ αὐτῆς γένωμαι. Δ. τῆς γυναικὸς αὐτόχειρ;
Ν. πάντα γὰρ σύνοιδεν αὕτη. Δ. μηδαμῶς, Νικήρατε.
Ν. σοὶ δ' ἐβουλόμην προειπεῖν. Δ. οὑτοσὶ μελαγχολᾷ.

---

197 duo puncta post ἡδὺς exstare potuisse adnotat J², exstat superius 198 αρτιως: pap. 201 suppl. Croenert 202 suppl. Wilam. ΟΙΧϹ pap. 203 πανταταπραγματ'ανατετρ . πταιτελοσεχει: pap. τέλος ἔχει post πάντα ins. Croiset alii — qui alterum τα inducunt, νὴ ⟨τὸν⟩ Δία scribere coguntur 208 suppl. Lef. 209 ΦΗϹΙ . . (.) ΙϵΙ . . . ϵΜΠΡΗϹϵΙΝΥΙΩΔΟΥΝ — ante ϵΙ tenuissimam lineam discernebat Jensen, post ϵΙ lineolam puncti instar; placeret exclamatio velut [Πόσ]ει[δον], sed hasta illa recta, siquidem atramento debetur, σ excludit; ἐμπρήσειν transp. v. Leeuwen. 210 ΟΨΟ/ . . . ΠΙ[Λ] pap., ὄψομαι Wilam., πάλιν Jensen, ἢ add. Lef. 211 suppl., emend. Croiset

εἰσπεπήδηκεν. τί τούτοις τοῖς κακοῖς τις χρήσεται;
οὐδεπώποτ' εἰς τοιαύτην ἐμπεσών, μὰ τοὺς θεούς,
οἶδα ταραχήν. ἐστὶ μέντοι τὸ γεγονὸς φράσαι σαφῶς
πολὺ κράτιστον. ἀλλ', Ἄπολλον, ἡ θύρα πάλιν ψοφ[εῖ.
Χ. ὢ τάλαιν' ἐγώ, τί δράσω; ποῖ φύγω; τὸ παιδίον
λήψεταί μου. Δ. Χρυσί, δεῦρο. Χ. τίς καλεῖ μ'; Δ. εἴσω τρέχε.
Ν. ποῖ σύ, ποῖ φεύγεις; Δ. Ἄπολλον, μονομαχήσω τήμερον,
ὡς ἔοικ', ἐγώ. τί βούλει; τίνα διώκεις; Ν. Δημέα,
ἐκποδὼν ἄπελθ'· ἔα με γενόμενον τοῦ παιδίου
ἐγκρατῆ τὸ πρᾶγμ' ἀκοῦσαι τῶν γυναικῶν. Δ. μαίνεται.
ἀλλὰ τυπτήσεις μ'; Ν. ἔγωγε. Δ. θᾶττον εἰσφθάρηθι σύ.
ἀλλὰ μὴν κ[ἄγω]γ[ε]· φεῦγε, Χρυσί, κρείττων ἐστί μου.
πρότερος ἅπτε[ι] μου σὺ νυνί. Ν. ταῦτ' ἐγὼ μαρτύρομαι.
Δ. σὺ δ' ἐ[π' ἐλευ]θέρ[αν] γυναῖκα λαμβάνεις βακτηρίαν
καὶ διώ]κεις. Ν. συκοφαντεῖς. Δ. καὶ σὺ γάρ. Ν. τὸ παιδίον
οὐ δίδωσ'] ἐμοί. Δ. γελοῖον, τοὐμόν. Ν. ἀλλ' οὐκ ἔστι σόν.
Δ. περίμε]ν'· ὤνθρωποι. Ν. κέκραχθι· τὴν γυναῖκ' ἀποκτενῶ
εἰσιών· τί γὰρ ποήσω; Δ. τοῦτο μοχθηρὸν πάλιν·
οὐκ ἐάσω. ποῖ σύ; μένε δή. Ν. μὴ πρόσαγε τὴν χεῖρά μοι.
Δ. κάτεχε δὴ σ(ε)αυτόν. Ν. ἀδικεῖς, Δημέα, με, δῆλος εἶ,
καὶ τὸ πρᾶγμα πᾶν σύνοισθα. Δ. τοιγαροῦν ἐμοῦ πυθοῦ,
τῇ γυναικὶ μὴ 'νοχλήσας μηδέν. Ν. ἆρ' ὁ σός με παῖς
ἐντεθρίωκεν; Δ. φλυαρεῖς· λήψεται μὲν τὴν κόρην,
ἐστὶ δὲ οὐ τοιοῦτον. ἀλλὰ περιπάτη[σον] ἐνθαδὶ
μικρὰ μετ' ἐμοῦ. Ν. περιπατήσω. Δ. καὶ σεα[υτὸν ἀνά]λαβε.
οὐκ ἀκήκοας λεγόν[των], εἰπέ μοι, [Νικήρα]τε,
τῶν τραγῳδῶν, ὡς γενόμενος [χρυσὸ]ς ὁ Ζ[εὺς] ἐρρύη

230 suppl. Leo al. 231 simul in manus veniunt simulque idem culpant.; cf. Ar. Ran. 528 ταυτ' εγω pap. 232 suppl. Leo βακτηριαν pap. 233 suppl. Robert 234 incertum, utrum ante εμοι K reliquiae (J.) an C appareant οὐ δίδως ἐμοί; Körte al., οὐ δίδωσ' ἐμοί (scil. Chrysis) cf. v. 214 235 |. . . . . . ι' (N, non M) 236 ΠΑΛῙ pap. (non ΠΑΛΙΝ, Lef.), πάλιν agn. Jensen 237 sq. post μοι et σαυτόν puncta desunt. 242 sq. μικρο| μετ' ἐμοῦ pap., μικρά Croenert al. ἀνάλαβε Legrand al. 244 ειπεμοιλεγον . . . pap. — Νικήρατε Wilam., al. 245 γενομενοσοζ[. υ . χρ . . .]σερρυη pap., transp. Croenert alii

διὰ τέγους, κατειργμένην δὲ παῖδ' ἐμοίχευσέν π[ο]τε;
N. εἶτα δὴ τί τοῦτ'; Δ. ἴσως δεῖ πάντα προσδοκᾶν· σκόπει,
το[ῦ τ]έγους εἴ σοι μέρος τι ῥεῖ; N. τὸ πλεῖστον. ἀλλὰ τί
τ]οῦτο πρὸς ἐκεῖν' ἐστί; Δ. τότε μὲν γίνεθ' ὁ Ζεὺς χρυσίον,
τότε δ' ὕδωρ· ὁρᾷς; ἐκείνου τοὔργόν ἐστιν· ὡς ταχὺ
εὕρομεν. N. καὶ βουκολεῖς με; Δ. μὰ τὸν Ἀπόλλω, 'γὼ μὲν οὔ.
ἀλλὰ χείρων οὐδὲ μικρὸν Ἀκρισίου δήπουθεν εἶ·
εἰ δ' ἐκείνην ἠξίωσε, τήν γε σὴν — N. οἴμοι, τάλας.
Μοσχίων ἐσκεύακέν με. Δ. λήψεται μέν, μὴ φοβοῦ
τοῦτο· θεῖον, ⟨οἶ⟩δ' ἀκριβῶς, ἐστὶ τὸ γεγενημένον.
μυρίους εἰπεῖν ἔχω σοι περιπατοῦντας ἐν μέσῳ
ὄ]ντας ἐκ θεῶν· σὺ δ' οἴει δεινὸν εἶναι τὸ γεγονός;
Χαιρεφῶν πρώτιστος οὗτος, ὃν τρέφουσ' ἀσύμβολον,
οὐ θεός σοι φαίνετ' εἶναι; N. φαίνεται· τί γὰρ πάθω;
οὐ μαχοῦμαί σοι διὰ κενῆς. Δ. νοῦν ἔχεις, Νικήρατε.
Ἀνδροκλῆς ἔτη τοσαῦτα ζῇ, τρέχει, πηδᾷ, πολὺ
πράττεται· μέλας περιπατεῖ, λευκὸς οὐκ ἂν ἀποθάνοι,
οὐδ' ἂν εἰ σφάττοι τις αὐτόν· οὗτός ἐστιν οὐ θεός;
ἀλλὰ ταῦτ' εὔχου [γε]νέσθαι [σ]υμφέροντα, θυμία.
πρόσαγε· τὴ]ν κόρην μέ[τε]ισ[ιν] οὑμὸς υἱὸς αὐτίκα·
ἐξ ἀνάγκης ἐστὶ γὰρ [τὰ] πόλλ' [ἕτοι]μον ν[ο]ῦ[ν ἔ]χει[ν.
εἰ δ' ἐλήφθη τότε [πονηρός, μὴ] παροξ[ύνου, πόει
τἄνδον εὐτρεπῆ. N. ποήσω. Δ. τὰ παρ' ἐμοὶ δ' [οὐ κωλύει.
N. κομψὸς εἶ. Δ. χάριν δὲ πολλὴν πᾶσι τοῖς θ[εοῖς ἔχω
οὐδὲν εὑρηκὼς ἀληθὲς ὧν τότ' ᾤμην [καταλαβεῖν.

ΧΟΡΟΥ

---

246 διατουτεγουσ pap., corr. Croiset Π . ΤΕ: pap. teste J., mihi lectio non certa erat, ποτέ Legrand al. 248 suppl. Wilam. 251 „etiamne cavillaris me"? 255 θειονδ'εστιναϰριβωστο pap. 261 πηδα· corr. ex παιδά· pap. 265 σπεῦδε sententiae, πρόσαγε lacunae satisfacit (cf. e. g. Theocr. I 62 πόταγ', ὠγαθέ) — τὴν κόρην μέτεισιν v. Leeuwen 266 ΕϹ[Τ]ΓΑ[Ρ . Α]ΠΟΛΛ . . . . ΜΟΙΙ · Ν . ΥΙ . ΕΧΕΙ, γὰρ τὰ π. Jensen, ΕϹΤΙΤΟΥ . ΕϹΟΜ . . . ΙΜ . Ι · Ν . ΥΝΕΧΕΙ Lef. 267 ΤΟΤΕ . Π . . Ι . . C . . ΙΠΑΡΟΞΙ . . . Π pap. f. εἰ δ' ἐ. τότε πάροινος ἢ πάροξυς ὤν, τί σοί; dantur enim permulta. ΤΟΤΕ et proxima littera (Π (Β?)) puncto disiuncta sunt ut v. 266 ἕτοιμον et νοῦν 268 ποήσω agn. Jensen, δ' οὐ κωλύει Wilam. 269 suppl. Lef. 270 κατανοεῖν Hense εἰδέναι Wilam.

Μοσχίων — Παρμένων.

I¹ ΜΟΣ/ Ἐγὼ τότε μὲν ἧς εἶχον αἰτίας μόλι[ς
ἐλεύθερος γενόμενος ἠγάπη[σα] κ[α]ὶ
τοῦθ' ἱκανὸν εὐτύχημ' ἐμαυτ[ῷ γεγονέ]ν[α]ι
ὑπ[έλα]βον· [ὡ]ς δὲ μᾶλλ[ο]ν ἔννο[υς γί]νομαι
καὶ λαμβάνω λογισμόν, ἐξέ[στηκα] νῦν
τελέως ἐμαυτοῦ καὶ παρώξυμ[μαι σφ]όδρα,
ἐφ' οἷς μ' ὁ πατὴρ ὑπέλαβεν ἡμαρ[τη]κέναι.
εἰ μὲν καλῶς οὖν εἶχε τὰ περὶ τὴν κόρην,
καὶ μὴ τοσαῦτ' ἦν ἐμποδών· ὅρκος, πόθος,
χρόνος, συνήθει', οἷς ἐδουλούμην ἐγώ,
οὐκ ἂν παρόντα γ' αὖτις ᾐτιάσατο
αὐτόν με [τ]οιοῦτ' οὐδέν, ἀλλ' ἀποφθαρεὶς
ἐκ τῆς π[όλ]εως ἂν ἐκποδὼν εἰς Βάκτρα ποι
ἢ Καρίαν διέτρι[β]ον αἰχμάζων ἐκεῖ·
νῦν δ' οὐ ποήσω διὰ σέ, Πλαγγὼν φιλτάτη,
ἀνδρεῖον οὐδέν· οὐ γὰρ ἔξεστ' οὐδ' ἐᾷ
ὁ τῆς [ἐ]μῆς νῦν κύριος γνώμης Ἔρως.
οὐ μὴν ταπ[ει]νῶς οὐδ' ἀγεννῶς παντελῶς
παρ[απεμπτέον τ]οῦτ', ἀλλὰ τῷ λόγῳ μόνον,
εἰ μηδ[ὲ]ν ἄλλ', αὐτὸν φοβῆσαι βούλομαι,
φάσκων ἀπαίρειν· μᾶλλον εἰς τὰ λοιπὰ γὰρ
φυλάξε[τ'] αὖτις μηδὲν εἴς μ' ἀγνωμονεῖν,
ὅταν φέροντα μὴ παρέργως τοῦτ' ἴδῃ.
ἀλλ' οὑτοσὶ γὰρ εἰς δέοντά μ[ο]ι π[άνυ
καὶ]ρὸν πάρεστιν ὃν μάλιστ' ἐβουλόμην.
Π. νὴ τὸν Δία τὸν μέγιστον ἀνόητόν [τ]ε καὶ
εὐκαταφρόνητον ἔργον εἴμ' εἰργασμένος·

---

271 μόλις agn. Körte 272 ΗΓΑΠΗ..Κ.Ι pap. 273 ΕΝ[Λ]Ι pap. 274 litt. λ et ω reliquiae puncti instar. — ἔννους γίνομαι Nicole, Richards 275 suppl. Lef. 276 suppl. Arnim al. 288 suppl. Croiset 289 ΠΑΡ[Α(Ο)ΙΕ(Α) /. . . . Ο] . ΤΟΥΤ' pap., quartae litterae non atramentum, sed vestigia tantum calamo impressa supersunt. παροpᾶν με δεῖ τοῦτ' Jensen, cf. Dem. 21, 124. Propter certa quaedam vestigia admittitur παροpᾶν πρέπει vel παραδεξόμενος (scil. ἔρως). Sententiam invenit Mazon (περιόψομαι) 294 suppl. Richards

οὐδὲν ἀδικῶν ἔδεισα καὶ τὸν δεσπότην
ἔφυγον. τί δ' ἦν τούτου πεποηκὼς ἄξιον;
καθ' ἓν γὰρ οὑτωσὶ σαφῶς σκεψώμεθ[α·
ὁ τρόφιμος ἐξήμαρτεν εἰς ἐλευθέρα[ν
κόρην· ἀδικεῖ δήπουθεν οὐδὲν Πα[ρμένων.
ἐκύησεν αὕτη· Παρμένων οὐκ α[ἴτιος.
τὸ παιδάριον εἰσῆλθεν εἰς τὴν οἰκ[ίαν
τὴν ἡμετέραν· ἤνεγκ' ἐκεῖνος, οὐκ [ἐγώ.
τῶν ἔνδον ὡμολόγηκε τοῦτό τις· τ[ί δή;
I² τί [Παρμ]ένων ἐνταῦθα πεποίηκεν κακόν;
οὐδέ[ν. τί οὖ]ν ἔφυγες σύ; πῶς ἀβέλτερε
καὶ δ[ειλότα]τε; γελοῖον. ἠπείλησέ μοι,
στί]ξει μ', [ὄνο]μα θή[σει]· διαφέρε[ι δ' οὐδὲ] γρῦ
ἀδίκως [παθεῖν] ταῦτ' ἢ δικαίως, ἐστὶ δὲ
π]άντα τ[ρόπο]ν οὐκ ἀστεῖον. Μ. οὗτος. Π. χαῖρε σύ.
Μ. ἀφεὶς ἃ φ[λ]υαρεῖς ταῦτα θᾶττον εἴσιθι
εἴσω. Π. τί ποιήσων; Μ. χλαμύδα καὶ σπάθην τινὰ
ἔνεγκέ μοι. Π. σπάθην ἐγώ σοι; Μ. καὶ ταχύ.
Π. ἐπὶ τί; Μ. βάδιζε καὶ σιωπῇ τοῦθ' ὅ σοι
εἴρηκα ποίει. Π. τί δὲ τὸ πρᾶγμ'; Μ. εἶ; λήψομαι
ἱμάντα; Π. μηδαμῶς· βαδίζω γ[άρ. Μ. τί ο]ὖν
μέλλεις; — πρόσεισι νῦν ὁ π[α]τήρ. δεήσε[ται,
δεήσεθ' οὗτος καταμένειν μου δηλαδή·

---

303 suppl. Croiset, 305 Lef. 306 ΤΙCΤΙ et parvulas rell., quae cum Δ coniungi possint, pap., sed non excluditur τί [οὖν]; cf. 308. Non fuit ΤΟ[vel sim. 308 suppl. Lef. εφυγεσουτως pap., corr. Raderm. 309 suppl. v. Arnim 310 [CTI]ΞΕΙ Ν (potius Ν quam Μ); qui στίξειν praefert, ei in versu 309 με pro μοι scribendum est — „nomen imponet" scil. τὸ τοῦ στικτοῦ ἐπίγραμμα — finem versus rest. O. Wiebe 311 suppl. Arnim 312 . ΛΝΤΑ⁻ . . . . ΙΟΥΚ 317 ΠΟΕΙ pap. ἢ λήψομαι v. Leeuwen, fort. recte ad 319 sqq. cf. Per. 297 sqq. αὐτίκα πρόσεισιν ἡ μήτηρ κτλ. loci sunt persimiles 319. 320 οπ . τηρδεησε[τ . .] | ουτοσκαταμενεινμουδηλαδηδεησεται pap. — δηλαδή certissima lectione agn. Jensen. Resecando vocem μου (at cf. v. 337 sq.) simpliciorem medelam habebis, sed cetera puto peiora. δηλαδή versum claudere notum est. Moschion spe et exspectatione preces callidi senis praecipit praegustatque triumphum: 'precabitur, precabitur videlicet'.

ἄλλως μέχρι τινός, δεῖ γάρ· εἶθ', ὅταν δοκῆι,
πε[ι]σθήσομ' αὐτῷ. πιθανὸν εἶναι δεῖ [μ]όνον,
ὃ μὰ τὸν Διόνυσον οὐ δύναμαι πο[εῖν] ἐγώ.
τοῦτ' ἔστιν. ἐψόφηκε πρ[οϊὼν τὴν] θύραν.
Π. Ὑστερίζειν μοι δοκεῖς σὺ παντελῶς τῶν ἐ[νθά]δε
πρ[α]γμ[ά]των, εἰδ[ὼ]ς δ' ἀκριβῶς οὐδὲν οὐδ' ἀκηκοὼς
διὰ κενῆς σαυτὸν ταράττεις· εἴ[σ]ιθ' ἤδη [το]ῦτ' [ἀν]είς· —
Μ. οὐ φέρεις; Π. π[ο]οῦ[σι] γάρ σοι τοὺς γάμους· κεράννυται,
θυμίαμα ἀνάπτεταί ⟨τι⟩ θῦμά τ' Ἡφαίστου [φ]λ[ο]γί.
Μ. οὗτος, οὐ φέρεις; Π. σ[ὲ] γάρ ⟨τοι⟩ περιμένουσ' οὗτοι πάλαι
μετιέναι τὴν [παῖ]δα. Μ. μέλλεις; Π. εὐτυχεῖς· οὐδὲν κακόν
ἐστ[ί] σοι. θάρρει· τί βούλει; Μ. νουθετήσεις μ', εἰπέ μοι,
ἱερ[ό]συλε παῖ; Π. τί π[ο]ιεῖς, Μοσχίων; Μ. οὐκ εἰσδραμὼν
θᾶττ]ον ἐξοίσεις ἅ φημι; Π. διακέκομμαι τὸ στόμα.
Μ. ἔτι λα]λεῖς, οὗτος; Π. βαδίζω, νὴ Δί', ἐξεύρηκα δὲ
μέγα κ]ακόν. Μ. μέλλεις; Π. ἄγουσι τοὺς γάμους ὄντως. Μ. ἴ(θι,
σπεῦσ]ον, ἐξάγγελλέ μοί τι. — νῦν πρόσεισιν· ἂν δέ μου
μὴ δέη]τ', ἄνδρες, καταμένειν, ἀλλ' ἀποργισθεὶς ἐᾶι
ἀπιένα]ι — τουτὶ γὰρ ἄρτι παρέλιπον — τί δεῖ ποεῖν;
εἰκότω]ς οὐκ ἂν ποιήσαι τοῦτ'. ἐὰν δέ; πάντα γὰρ
γίνε]ται· γελοῖος ἔσομαι, νὴ Δί', ἀνακάμπτων πάλιν.

Fragmentum

φέρε δὴ λιβανωτόν· σὺ δ' ἐπίθες τὸ πῦρ, Τρύφη.

---

alterum δεήσεται omissum aliquando et margini dextro adiectum est, ubi restitit 321 αλλ'ωσ pap. 324 suppl. Leo al. praeeunte Lef. 327 ЄΙ[C]ΙΘΙΙ/.ΙΙ.ΟΥΤ'.ΙЄΙC: ut vid. pap., cf. v. 313 et Rh. Mus. 1913 p. 453 328 ποοῦσι Körte οινοσκεραν (νυται) pap., οἶνος induxit Körte 329 θυμιαματι . . [μ]ατ'αναπτεταιθυματ'ηφαιστου[φ]λ[ο]γι pap., rest. Leo τι suo loco inserens alterumque θῦμά τ' inducens. Ad Ἡφαίστου φλογί in fine trimetri cf. Eurip. Iph. Aul. 1602, Arist. Plut. 661 330 γάρ τοι Leo 331 legit, corr. Jensen, toti versui interpunctionem deesse testans 333 ιεροσυλε: παι pap., dist. Körte, Wil. al. 334 suppl. Lef. 335 suppl. Körte al. τε | pap., corr. Wilam. 336 suppl. Körte al. sub finem οντωσι | pap., ἴθι Headlam al. 337 σπεῦσον Richards al. 338 suppl. Headlam al. 340 suppl. Eitrem 341 suppl. Nicole al. fragm. = fr. 437 K (Phrynich. ecl. p. 187)

. . . [Η]Ρ[ΩΣ Μ]ΕΝΑΝΔΡΟΥ ΚΘ

Ἄρρεν ⟨τε⟩ θῆλύ θ' ἅμα τεκοῦσα παρθένος
ἔδωκεν ἐπιτρόπῳ τρέφειν· εἶθ' ὕστερον
ἔγημε τὸν φθείραντα. ταῦτα δ' ὑπέθετο
ὁ τρέφων πρὸς αὐτὸν ἀγνοῶν. θεράπων δέ τις
ἐνέπεσεν εἰς ἔρωτα τῆς νεάνιδος
ὁμόδουλον εἶναι διαλαβών. γείτων δέ τις
προηδικήκει μετὰ βίας τὴν μείρακα.
τὴν αἰτίαν ἐφ' ἑαυτὸν ὁ θεράπων στρέφειν
ἐβούλετ'· οὐκ εἰδυῖα δ' ἡ μήτηρ ἄγαν
ἐδυσχέραινε. καταφανῶν δὲ γενομένων
εὗρεν μὲν ὁ γέρων τοὺς ἑαυτοῦ γνωρίσας,
ὁ δ' ἠδικηκὼς ἔλαβε τὴν κόρην θέλων.

Τὰ τοῦ δράμ(ατος) πρόσωπα.

Γέτας	Σωφρόνη
Δᾶος	Σαγγάριος
Ἥρως θεός·	Γοργίας
Μυρρίνη	Λάχης
Φειδίας:	

Γέτας, Δᾶος

Α[1] ΓΕΤ' Κακόν τι, Δᾶέ, μοι δοκεῖς πεποηκέναι
παμμέγεθες, εἶτα προσδοκῶν ἀγωνιᾶν

Ut a dextra parte tituli numerus apparet paginae (ΚΘ), sic a sinistra alius mihi numerus exstare videbatur, sub quo linea. Vestigia incertissima sunt et paene evanida (fort. Ξ fuit, ut haec fabula sexagesima fuerit, sicut Imbrii septuagesima (prima vel tertia . . .) erat, scripta ἐπὶ Νικοκλέους; cf. Ox. pap. X p. 86) 1 αρρεντεκουσαπαρθενοσθηλυθ'αμα pap., corr. Wilam. 2 επιτροφω pap. 16, 18 interpunctionem enotavit Jensen 2 ΛΝ | pap. (potius quam αις); de ν littera dub. Jensen

μυλῶνα σαυτῷ καὶ πέδας, εὔδηλος εἶ.
τί γὰρ σὺ κόπτεις τὴν κεφαλὴν οὕτω πυκνά;
τί τὰς τρίχας τίλλεις ἐπιστάς; τί στένεις;
Δ. οἴμοι. Γ. τοιοῦτόν ἐστιν, ὦ πονηρὲ σύ; ΓΕΤ'
εἶτ' οὐκ ἐχρῆν, κερμάτιον εἰ συνηγμένον
σοὶ τυγχάν]ει τι, τ[ο]ῦτ' ἐμοὶ δοῦναι τέως,
ἵν' ἀσφαλίσας τὰ] κατὰ σεαυτὸν πράγματα
ἐκεῖν' ἀπέλαβες; ὡς σ]υνάχθομαί γέ σοι
πάσχοντι παμπόν]ηρα. Δ. σὺ μὲν οὐκ οἶδ' ὅτι ΔΑ'
ληρεῖς· ἑτέρῳ γε συμπ]έπλεγμαι πράγματι
ἀμαχωτέρῳ; Γ. τί δ' ἐστίν; Δ.] ἔφθαρμαι, Γέτα.
Γ. ἀλλὰ φθαρείης]. Δ. μὴ καταρ[ῶ] πρὸς ⟨τῶν⟩ θεῶν, ΔΑ'
Γέτα, δυσέρωτι]. Δ. τί σὺ λέγεις; ἐρᾷς; Δ. ἐρῶ. ΔΑ'
Γ. πλέον δυοῖν σοι] χοινίκων ὁ δεσπότης
Α² παρέχει· πονηρόν, Δᾶ'· ὑπερδειπνεῖς ἴσως.
ΔΑ/ πέπονθα τὴν ψυχήν τι παιδίσκην ὁρῶν
συντρεφομένην ἄκακον, κατ' ἐμαυτόν, ὦ Γέτα.
ΓΕΤ/ δούλη 'στίν; Δ. οὕτως, ἡσυχῇ, τρόπον τινά.
ποιμὴν γὰρ ἦν Τίβειος οἰκῶν ἐνθαδὶ
Πτελέασι, γεγονὼς οἰκέτης νέος ὤν ποτε.
ἐγένετο τούτῳ δίδυμα ταῦτα παιδία,
ὡς ἔλεγεν αὐτός, ἥ τε Πλαγγὼν ἧς ἐρῶ —
Γ. νῦν μανθάνω. Δ. τὸ μειράκιόν θ', ὁ Γοργίας. ΔΑ/
Γ. ὁ τῶν προβατίων ἐνθάδ' ἐπιμελούμενος
νυνὶ παρ' ὑμῖν; Δ. οὗτος. ὢν ἤδη γέρων ΔΑ/
ὁ Τίβειος ὁ πατὴρ εἰς τροφήν γε λαμβάνει

5 post επιστας unius litterae spatium est 6 οιμμοι: pap. 8 suppl. Körte 9 sqq. e. g. supplevi; initio secutus sum Wilam. (ἵν' ἀπολάβῃς, τ. κ. σ. π. ὅταν καλῶς θῇς; ὡς) qui secutus est Leeuwenum (ὅπως ἂν εὖ θῇς τ. κ. σ. π.). Haec forma loquendi (ἵν' ... ἀπέλαβες) frequens est apud Euripidem 11 ΗΡ\ : pap., πονηρά Jensen 12 ληρεῖς Croiset — ἑτέρῳ γε Wilam., ἀμάχῳ γε Leo; vestigia litterarum ΜΠ perexigua sunt, item l. ω in καταρῶ (14) 13 \ΕΦΘΑΡΜΑΙ pap., interpunctionem non vidi 14 φθαρείης sc. οἷα θρύπτει καὶ αἰνιττόμενος περιλέγεις (Georg. 53) καταρῶ Croiset τῶν add. Leo 15 βέλτιστ', ἐρῶντι v. Leeuwen 16 πλέον — παρέχει = fr. adesp. 444 K (Choerobosc. 312, 6) 17 paginae suprascr. est Λ 27 ημιν pap., corr. Leo

τούτοις παρὰ τοὐμοῦ δεσπότου μνᾶν, καὶ πάλιν —
λιμὸς γὰρ ἦν — μνᾶν, εἶτ᾿ ἀπέσκλη. Γ. τὴν τρίτην ΓΕΤ/
ὡς οὐκ ἀπεδίδου τυχὸν ὁ δεσπότης ὁ σός.
Δ. ἴσως. τελευτήσαντα δ᾿ αὐτὸν προσλαβὼν
ὁ Γοργίας τι κερμάτιον ἔθαψε καὶ
τὰ νόμιμα ποιήσας πρὸς ἡμᾶς ἐνθάδε
ἐλθὼν ἀγαγών τε τὴν ἀδελφὴν ἐπιμένει
τὸ χρέος ἀπεργαζόμενος. Γ. ἡ Πλαγγὼν δὲ τί; ΓΕΤ/
ΔΑ/ μετὰ τῆς ἐμῆς κεκτημένης ἐργάζεται
ἔρια διακονεῖ τε, παιδίσκη πάνυ — Δ[Α]
Γέτα, καταγελᾷς; Γ. μὰ τὸν Ἀπόλλω. Δ. πάνυ, Γέτα,
ἐλευθέριος καὶ κοσμία. Γ. τί οὖν σύ; τί
πράττεις ὑπὲρ σαυτοῦ; Δ. λάθρᾳ μέν, Ἡράκλεις,
οὐδ᾿ ἐγκεχείρηκ᾿, ἀλλὰ τὠμῷ δεσπ[ὀ̣τ̣]η
εἴρηκ᾿, ὑπέσχηται τ᾿ ἐμ[ο]ὶ̣ σ[υνοικιεῖν
αὐτὴν διαλεχθεὶς πρὸς τ̣[ὸν ἀδελφόν. Γ. λαμπρὸς εἶ.
Δ. τί λαμπρός; ἀποδημεῖ τρ̣[ίμηνον ἐπί τινα
πρᾶξιν ἰδίαν εἰς Λῆμ[νον, ἐλπίδος δὲ νῦν
ἐχόμεθα τῆς αὐτῆς· [ἐ̣κε]ῖ̣[νος, εὔχομαι,
σῴζοιτο — Γ. χρηστὸς [ο̣ὗτοσί. Δ. θυσιῶν τέ μοι
ὄνησις εἴη. Γ. πολὺ π[ε̣π̣ωκὼς οὐκέτι
φρονεῖς· ἐγὼ γὰρ καὶ [μανείην μᾶλλον ἢ
θύσαιμ᾿· ἀνόνητόν [ἐ̣σ̣τιν. . . . .
ᾧ ξυλοφορῶ . . . .

31 οὐκέτ᾿ ἐδίδου Wilam. 38 τε : παιδισκη : πανυ· | pap., dist. Wilam. 40 : τιουνσυ τι pap. 43 suppl. Croiset 44 αυτον pr. m., αυτην corr. sec. m. τὸν ἀδελφόν Lef., λαμπρὸς εἶ Wilam. 46. 47 sententiam perspexit Sonnenburg Rh. M. 1914 p. 85, idemque versu 51 finem paginae e. g. supplevi 47 Ϲ̣ . . Ι̣ (Φ, Ρ) pap. 48 ΧΡΗ ϹΤΟϹϹ[Υ] pap., fuisse vid. ЄΥ, ΟΥ sim. 50 ΚΑΙ 51 ΑΝΟ ΝΗΤΟΙ̣ . ̂Ϲ· (vel ΤΟΙ̣ . ¯Ϲ¯) 52 ΩΞΥΛΟΦΟ̇Ρ[Ω] : . [Ϲ̣Π] post Ρ omnia incerta et in clariore luce tamquam diffluentia. Suppleas e. g. ἀνόνητόν ἐστ᾿. ἀπόλοιθ᾿ ὁ δεσπότης, ᾧ ξυλοφορῶν ἐπιτρίβομαι. Paullo post secutum esse fr. 345 K existimo, quod Leo huic scenae assignavit: Δ. οὐπώποτ᾿ ἠράσθης, Γέτα. Γ. οὐ γὰρ ἐνεπλήσθην. Geta servus famelicus et male habitus Davo, qui in domo opulentiore servit (v. 16), invidet

δεζ[2] . . . . θέ]λ[ο]ιμ', ω . . . .
. . . . ι . . σοι . . . τοῦτο τ . . . .

ΧΟΡ[ΟΥ]

Μυρρίνη, Λάχης·

Μ. Ὦ Ἡρά]κλεις, ἔα μ' ἀμάρ[τυρον λέγειν.
. . τῇ νέᾳ] δίδωμι νύμφ[ῃ . . . .

* * *

Ο[2] . . . ισι . ο . . . .
τούτῳ. πο . . . . [τὴν μητέρα
μᾶλλον δί[δασκε τίς πότ' ἐστι. Μ. φασὶ μὲν
τὴν Θρᾶττα[ν. Λ. ἀλλ' οὐκ ἔστι. Μ. τίς δ' ἐστίν πο]τε;
Λ. σύ, τάλαινα. Μ. τί; Λ. φ[αν]ερῶς γε νὴ Δί', ὦ γύναι.
Μ. ἐς κόρακας, ἐξέστηκας· οἷα γὰρ λέγεις.
Λ. ἃ καὶ ποήσω, καὶ δέδοκταί μοι πάλαι.
Μ. ἱδρώς, ἀπορία. Λ. νὴ Δί' εὖ γ', ὦ Μυρρίνη,
ἐπ' ἐμαυτὸν ἔλαβον ποιμέν', ὃς βληχώμενον —

δεζ[1] . . . . ον τρ . . . .
Λ. τί πέπονθας; ὡς γὰ]ρ ἀνδριὰ[ς παρίστασαι.
Μ. ὡς οἰκτρόν, ἣ το]ιαῦτα [δυστ]υχῶ μ[όνη,
ἃ μηδὲ πιθανὰς τ]ὰς ὑ[περ]βολὰς ἔχ[ει.
Μ. ἰάσεται μὲν τὸ] πάθος ἡ γνώμη σφόδρα·
ἀλλ' ἠδίκηκ]εν ἐκ βίας σέ τίς ποτε;

---

53 θέλοιμ', ὦ Jensen 55 ὦ Ἡράκλεις, λέγειν Jensen, ἀμάρτυρον Körte. [ὦ Ἡρά]κλεις iam ex illo καθίσ' Koertii enucleaveram 56 | . . . . ΝΙΛΩΜΙΝΥΜΦ pap., δίδωμι νύμφῃ Jensen 57 . . . ΙΣΙ . Ο(Μ) 59 ΔΙ . vel ΔΙΙ, non excludi vid. ΔΙ[ΗΓΟΥ] 59. 60 e. g. supplevi 60 Ι . Ι . . ΙΕ 61 ΣΥΤΑΛΑΙΝΑΦ . . ΙΕΡΩΣΓΕΝΗΔΙΑΩΓΥ ΝΑΙ ΤΙ: inter γυναι et τι: 1$\frac{1}{2}$ litterarum spatium est liberum, ubi nihil unquam scriptum est; φανερῶς Lef. 64 ἀπορία agn. Jensen lectione certissima (ΑΠΟΡΙΑ:). Dicit cum ironia Laches: pro di, uxor, commode in me recepi pastorem, qui mihi balantem et esurientem ostentabat puerulum, commiserans eundem videlicet pastorem, qui te vitiaverat 67 ὥσπερ ἀνδριάς Körte 68. 69 = fr. 211 K (Stob. flor. 104, 13), quod perspexit Körte, B. ph. W. 1911, 1421; idem v. 70 παρηγορήσει, sententiam tangens proximo quoque versu

M. ναιχί, μεθύων γά]ρ. M. ὑπονοιε[ῖ]ς ὅσ[τις ποτ᾽ ἦν;
. . . . τιτηλ . . . .
ϑ1 . . ι - - - - - - - - - - - - - - [οὐδ᾽ ἱερὸν θεᾶς
ᾔσχύν[εθ᾽· ο]ὔ[τ]ω[ς ἦν ἰταμός. Λ. θεᾶς τίνος;
M. ᾽Αλέας ᾽Αθανᾶς . . . .
. . . . . . τα· και μ . . . .
O1 . . . . ι γε σύ
. . . . σ ὅτι
. . . . -χε]ρέστατον
M. . . . . π]ρῶτον λέγε.
Λ. ἔ]τη ᾽στὶν ὀκτὼ καὶ δέκ᾽. M. οὐκ ἔστιν, μό[λις
τὸ τηνίκα]ῦτ᾽· ἔστω δὲ τοῦτ᾽, εἰ σ[οὶ] δοκεῖ.
Λ. κρίσι]ς τὸ πρᾶγμα γίνεται. M. πῶς λανθάνει
πα]ρ[εκ]πεσών σε; πῶς δ᾽ ἀπόλ[ω]λε; πηνί[κα —

Fragmenta aliunde nota.

(cf. ad v. 52)

1. δέσποιν᾽, Ἔρωτος οὐδὲν ἰσχύει πλέον,
οὐδ᾽ αὐτὸς ὁ κρατῶν ⟨τῶν⟩ ἐν οὐρανῷ θεῶν
Ζεύς, ἀλλ᾽ ἐκείνῳ πάντ᾽ ἀναγκασθεὶς ποεῖ.

---

72 ρ(.) vel ΝΥΠΟΝΟΕ . COC⁻ ^ 73 ⁻Ι⁻ΗΛ(Μ) 74. 75 suppl. e. g. fr. ϑ hic adiciendum esse arbitror. In verso quod dicitur haec leguntur: CI . Λ(Ω) . . I . ΓΙΝ(Ρ . ΗΝ) . . . . | - - - ΙΟΤΙΤΗCΠΟΛΛΗC \.\ . . . | - - - ΕΠΙ(ΕΓΩ) . . . ΙΙ(ΕΓΩ . ⁻ΙΙC Jensen) 75 ΗCΧΥΝ . . (.) [Ο]ΥΙC(Ω) 82 descripsi ΜΟΝΗ (sicut Jensen), ΜΟΛΙΙ(C) minus probabile esse adnotans 83 | . Ο . . . . Κ . ΥΤ᾽ pap., etiam ceterarum litterarum pauca vestigia legi possunt. ΛΥΤ᾽ Jensen CΥΔΟΚΕΙ pap. σὺ pro σοὶ noto ex papyris Aegyptiacis errore 84 | . . . ΙΠΙCΙΟΠΡΛΓΜΛ pap. 85 | ΙΙ . Ρ[Ε] . ΠΕCΩΝC[Ε] παρεκπεσὼν scil. ὁ δακτύλιος, quem Myrrhina Lacheti detraxit sicut Herculi Auga Probabiliter huic paginae inseratur fragm. η, cuius reliquias describo:

r	v
ἄσωτο[ς . . .	ε]ὔδηλ[ον ?
ν συνδοκ[εῖ	ἐ]λθεῖν ἐκεῖ[νον
σει δ᾽ αὐτῷ ποιι .	νὴ τὸν Ποσ[ειδῶ
? δακτύλ]ιό[ν] τινα	λαβεῖν . ολο
ον κ . . .	ἐλθ[εῖν ?

1 = fr. 209 K (Stob. flor. 63, 21) τῶν add. Grotius

2. ἐχρῆν γὰρ εἶναι τὸ καλὸν εὐγενέστατον.
3. χοῦς κεκραμένου
οἴνου. λαβὼν ἔκπιθι τοῦτον.
4. ἐπεφαρμακεύσω, γλυκύτατ', ἀναλυθεὶς μόλις.
5. εὖ ἴσθι κἀγὼ τοῦτο συγχωρήσομαι.
6. - - - τῶν ⟨δὲ⟩ παιδισκῶν τινι | δούς.
7. ὦ δυστυχής, εἰ μὴ βαδιεῖ.
8. νῦν δὲ τοῖς ἐξ ἄστεως
κυνηγέταις ἥκουσι περιηγήσομαι | τὰς ἀχράδας.
9. - - - ποιήσεις ἀστικὸν σαυτὸν πάλιν.

---

2 = fr. 210 K (Stob. flor. 89, 7) 3 = fr. 212 K (Athen. 426 C) 4 = fr. 213 K (Suid. et Phot. Berol. p. 115, 19) 5 = fr. 214 K (Ammon. de diff. p. 76) 6 = fr. 215 K (Choerob. in Theod. I 410, 15 Hil.) δὲ add. Meineke 7 = fr. 216 K (Choerob. in Theod. I 176, 41 Hil.) 8 ex lex. Sabbait. p. 4 9 = fr. 868 K (Bekker Anecdot. 454, 7)

Fabula incerta

Λάχης, Χαιρέας — Κλεαίνετος

. . . . τε fr. ι[1]
fr. LPS[r] . ι . . . . ι . . ν ἔδει.
Χ. ἐπ[. . . . . ἡμέρας εἴρ]ξας ὅλ[α]ς
ἔχ[ει . . . . Λ. τὸν μ]έγ' ἄθλιο[ν
ἔκσωσ[ον, ἱκετεύω σε πο]λλά, Χαι[ρέα.
Χ. μάρτυρα[ς ἐκεῖνος φαίνετ]' οὐκ [ὀλίγους ἔχειν· expl. ι[1]
ἐπ' αὐτοφ[ώρῳ γὰρ λαβὼν φράζει τισὶν
γείτοσιν· ἕτοιμ[οι δ' εἰσὶ πάντες μαρτυρεῖν
τὸν ἐγκεκλει[κότ' εἰσιδεῖν μετὰ τῆς κόρης.
Λ. παῖ, Μοσχίων, [ἀπολώλεκάς μ'. Χ. ὁ Κλεαίνετος
ἀρεοπαγίτης ἔσ[θ' ὁ πατήρ. Λ. αἰσχύνομαι·
ἔ[τι] γάρ [σ' ἐ]τ[α]ῖρ[ον ὄντ' ἀδικεῖ. Χ. πάλαι μὲν οὖν
ἀδικεῖ μ' ἐκεῖνος, οὐδὲ[ν] ἐξ ἐμοῦ π[αθών.
ἤρα μὲν ἀεὶ τῆς κόρης [καὶ] πολλά μοι

Scaena vivacitate sermonis fervens Samiamque superans procacitate quo facilius intellegeretur, primos versus e. g. supplevi. Adieci autem fr. ι huc sine dubio pertinens. — Initio lactatur Laches pater Moschionis a conspirantibus Chaerea, Moschionis amico, et Cleaeneto, cuius filiam Moschio vitiaverat iamque in matrimonium ducere concupiscit. Chaereas mendaciis Lachetem terret tanquam summo periculo Moschioni impendente, qui in stupro a patre virginis deprehensus sit. Supervenit trepidanti iam Lacheti pater virginis Cleaenetus; sic enim inter illos convenerat (v. 60). Ita fit, ut Laches ille dives timore perculsus Cleaeneti filiam Moschioni postulet 3 e. g. suppl., item sequentia 7 ἐπ' αὐτοφ[ώρῳ] Jensen 12 Є⁻ΙΓλΡ.CΤ . ΙΡ . . Ι post Τ exstat apex exiguus litterae λ 13—15 suppl. v. Arnim

πράγματα παρεῖχεν, ὡ[ς δ’] ἐπέραινεν οὐδὲ ἓν
αὐτῷ παραδοῦναι τὸν [γάμο]ν πείθων, ἰδοὺ
ἐξειργάσατο. Λ. τί οὖν ἀναίνει τὴν ἐμὴν
ἔχειν θυγατέρα; Χ. τοῖς δὲ δοῦσι τίνα λόγον
ἐρῶ, Λάχης; γενοῦ γάρ, ἱκετεύω [σ’] ἐγώ —
Κ. οἴμοι, τί ποήσω. Χ. τίς ὁ βοῶν ἐστίν ποτε
πρὸς ταῖς θύραις; Λ. εὐκαιρότ[ης] σέ, νὴ Δία,
αὐτὴ πρ]οσ[ήγαγ’ ὥ]ς με. Χ. τί ποήσω, Λάχης;
Λ. πείθωμεν αὐτόν. Χ. ὦ βίας ἐρρωμένης·
πείθω παραδοῦναι τὴν ἐμὴν ἀδικούμενος
α]ὐτός; Λ. ὑπόμεινον δι’ ἐμέ. Κ. νὴ τὸν Ἥλιον
α]ἰσχύνομαι, Λάχης, σε. Λ. τί βοᾷς; Κ. [παίζο]μ[αι.
Χ. ἄ]κουε δή μου· Μοσχίων τὴν παρθένον
ἑλ]ὼν ἔχει, Κλεαίνετ’ — Κ. [ἠ]δικήμεθα.
Χ. μηθὲν βοήσῃς· γνησίω[ν] ἐπὶ σπορᾷ
παίδων. ὁ πατὴρ αὐτοῦ [παρ]ὼν Λάχης ὁδὶ
τ]οῦ[τ]’ ἐπιβεβαιοῖ. φῂς σ[ύ; Λ. φημ]ί, Χαιρέα·
οὐ] γάρ τι βούλ[ομ’ ἀντιλ]έ[γειν. Χ. καλῶς ποῶν.

desunt versus tres vel quattuor.

ι v Λ. πάντ’ ακ . . . . LPS²

---

